14. Γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων· [1]ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ, ῥήγνυται δὲ ὑπὸ πόνων, καὶ ὅταν ῥαγῇ, [2]αἱμοῤῥοεῖ τὸ φλέβιον· [3]κἢν μὲν παχύτερον ἔῃ, μᾶλλον, ἢν δὲ λεπτότερον, ἧσσον· καὶ τὸ μὲν, παραυτίκα τοῦ αἵματος πτύει· τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται [4]ἐς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ, καὶ, ὅταν σαπῇ, πῦον πτύει· προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πῦον [5]εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε αἷμα· καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα [6]ἀφ' ἑωυτοῦ ἅλες τοῦ αἵματος, τό τε πῦον πτύεται παχὺ ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. Οὗτος ἢν καταληφθῇ ἀρχομένου τοῦ [7]νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν [8]ἢ χαλᾶν ἰσχυρῶς, [9]πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, [10]ἐξάντης τῆς τοιῆσδε νούσου γίνεται· ἢν [11]δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθέειν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται· ἀπόλλυται δὲ οὗτος ἢ ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα [12]ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου αἵματος πουλλοῦ [13]καὶ πολλάκις ἐμευμένου. Ἢν δὲ τὸ φλέβιον [14]παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάδων [15]δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα [16]οἷον κιρσός· ὃ καὶ παραυτίκα μὲν, ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν καὶ βῆχα ξηρήν· ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἷμα, τὸ μὲν πρῶτον ὀλίγον καὶ [17]ὑπόμελαν, ἔπειτα δὲ ἐπὶ πλέον τε καὶ εἰλικρινέστερον, εἶτα πῦον, καὶ πάσχει

[1] Ὅτ' ἂν θ. – ἐν αὐτῇ θ. – δ' ὑπὸ θ. – δὲ ἀπὸ vulg. – ὑπὸ Mack. — [2] αἱμορροεῖ EHJ, Mack. – αἱμοῤῥοιεῖ vulg. – αἱμορραγῇ θ. — [3] καὶ ἢν θ. – ἢ θ. – στεγνωθῇ JL. — [4] Addit τε θ. – ἐς EH. – εἰς vulg. – πτύει θ. – ποιεῖ vulg. — [5] εἰλ. E. – τὸ (δὲ pro τὸ EGHIJK, Ald., Frob.) αἷμα vulg. – τὸ om. θ, Lind. – Post αἷμα addit [πτύει] Lind. — [6] ἀπὸ EH. – ἅλις H. — [7] νοσ. EHθ. – αἱμορροῖν (sic) θ. — [8] ἢ θ. – καὶ vulg. — [9] καὶ πρὶν η (sic) λεπτυνθῆναι τὲ καὶ κλινοπετῆ θ. – λεπτυθῆναι, al. manu λεπτυνθῆναι H. – ἄρχεσθαι θ. — [10] ὑγιὴς pro ἐ. τ. τ. νούσου θ. – τουτέστιν ἔξω τῆς τοιαύτης νόσου in marg. J. — [11] δὲ θ. – παθεῖν θ. – οὗτος om. FGIKL. – ἢ om. θ. – ἀπὸ EHP'Q', Lind., Mack. — [12] ἐν τῇ πρόσθεν θ. – ἀπὸ H, Lind. – πολλοῦ EHθ. — [13] καὶ θ, Mack. – καὶ om. vulg. – πουλλάκις IJ. – ἐμευμενου (sic) θ. – ἐμεομένου E, Lind., Mack. – ἐμεουμένου vulg. — [14] μὲν παντ. J. – Erot. Gl.: σπάδων, σπασμὸς σώματος. – Gal. Gl.: σπαδὼν (sic), σπάσμα· θηλυκὸν τοὔνομα. — [15] δὲ J. – ἐνγένηται θ. – δὲ om. Lind. — [16] οἷα FGIJK. – καὶ om. θ. – τε pro τινὰ θ. – διαδίδοι θ. – αἷμα, τὸ μὲν θ, Mack. – αἵματος μὲν vulg. — [17] ὑπομέλαν vulg. – ἐπὶ (ἐς L; εἰς FGJK) πλεῖον vulg. – ἐπιπλέον EH. – ἐπὶ πλέον Mack. – τε om. GIJK. – εἰλικρινέστερον EHθ, Mack. – εἰλικρινέστατον vulg. – εἶτα πῦον om.

14. (*Empyème du poumon produit par ce que les médecins hippocratiques appelaient une rupture ; voy. t. V, p. 579. On a pensé que ces ruptures de veine dans la poitrine notées ici et ailleurs étaient relatives aux anévrysmes internes. Mais cela ne paraît pas certain. Le langage de l'auteur hippocratique est trop vague, et l'idée qu'il se fait de ces ruptures trop peu précise pour qu'on puisse y reconnaître une description d'anévrysme.*) Un empyème se forme aussi dans le poumon de cette façon : lorsqu'une des veinules qui sont dans cet organe se rompt, rupture causée par des fatigues, la veinule laisse écouler du sang, d'autant plus qu'elle est plus grosse, d'autant moins qu'elle est plus petite ; du sang, une partie est crachée sur le moment, l'autre, si la veine ne s'est pas resserrée, se répand dans le poumon, et s'y pourrit ; et quand ce sang est pourri, c'est du pus que crache le patient ; dans la suite il crache tantôt du pus tout pur, tantôt du pus sanguinolent, tantôt du sang ; si la veinule s'est remplie davantage, cette plénitude dégorge du sang en abondance, et un pus épais est craché par l'effet du phlegme fixé et pourri. Le patient, si on le prend au début du mal avant que la veine ne donne beaucoup de sang ou ne se relâche grandement, avant qu'il ne maigrisse et ne s'alite, avant que la tête ne commence à se consumer et le reste du corps à se fondre, le patient, disons-nous, réchappe de la maladie ; mais s'il est négligé, s'il lui advient d'être atteint de tous ces accidents ou de la plupart, il succombe ; et il succombe soit aux mêmes lésions que j'ai dites plus haut, soit au vomissement de sang abondant et souvent répété. Si la veinule ne s'est pas rompue complétement, mais qu'il s'y forme une convulsion, cette convulsion produit une espèce de varice ; il en résulte, à l'instant de la production de la lésion, une douleur légère et une toux sèche ; mais si le mal dure et est négligé, il vient du sang, d'abord peu et presque noir, puis davantage et plus pur, enfin du pus, et le patient

θ, Mack. – τε ὅσα vulg. – J'ai supprimé ce τε de vulg.; τε, comme on voit par nos mss., se glisse très-souvent à tort. – τῇ πρόσθεν pro τ. ἔμπρ. θ.

ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται· [1] ξυμφέρει δὲ τοῖσι τοιούτοισιν, ἢν καταρχὰς λάβῃς ὥστε θεραπεύειν, φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, καὶ δίαιτα, ὑφ' ἧς ἔσται [2] ὡς ξηρότατός τε καὶ ἀναιμότατος. Τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοά ἐστιν· ὁκόταν οὖν πονέσῃ, κιρσοειδέα τε γίνεται καὶ μετέωρα [3] ἔνδον· καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει· ἐκρήγνυται, [4] καὶ πτύουσί τε ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται, καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν· ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ [5] νουσήματος, αὖθις κατὰ χώρην ἱζάνουσι πρὸς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. Καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ [6] ἀπ' αὐτοῦ πάσχουσί τε [7] τὰ τοιαῦτα καὶ τελευτῶσιν οὕτως.

15. Τὴν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς· καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἐκ τῆς κεφαλῆς ἅλες ἐς τὴν ἄνω κοιλίην, [8] σήπεταί τε καὶ γίνεται πῦον· [9] σήπεται δ' ἐπὶ τῶν φρενῶν κεχυμένον· σήπεται [10] δὲ ἐν ἡμέρῃσι μάλιστα δυοῖν καὶ εἴκοσι· τοῦτο οὖν διασείεται, καὶ [11] ἐγκλυδάζεται τὸ πῦον πρὸς τὰ πλευρὰ προσπῖπτον· οὗτος ἢν καυθῇ ἢ τμηθῇ, [12] πρὶν χρονίσαι τὸ πῦον, ὑγιὴς γίνεται ὡς τὰ πολλά. [13] Γίνονται δὲ τὴν ἄνω κοιλίην ἔμπυοι καὶ ἐκ πλευρίτιδος, [14] ὁκόταν ἰσχυρὴ γένηται, καὶ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε πτυσθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ [15] προσπεπτωκότος φλέγματός τε καὶ χολῆς·

[1] Ξ. θ, Lind. – σ. vulg. – λάβῃς θεραπεύειν ὥστε αἵ τε (τε om. E) φλέβες vulg. – λάβῃς ὥστε θεραπεύειν φλέβες θ. – Foes, dans ses notes, propose de lire θεραπεύειν ὥστε τὰς φλέβας ἐξιέναι τῶν χειρῶν. – ἐξιεμέναι θ. – Post χειρῶν addunt τέμνεσθαι ELQ'. — [2] ὡς om. vulg., faute d'impression. – ἀνεμότατος θ. – φλεβία E. – ἐστιν EHQ'θ. – εἰσιν vulg. – ὅτ' ἂν θ. – πονέσῃ, al. manu ἡ E. – πονήσῃ vulg. – κρισσοειδεα (sic) θ. – τε om. EIJK, Lind. – μετεωρότερα P'Q'. — [3] ἔνδον θ. – εἴσω vulg. — [4] τε καὶ vulg. – τε om. θ. – ἔνι ὅτε θ. – πολλὰ Hθ. – ταπολλὰ E. – διουν (sic) ἐφθάρησαν θ. — [5] νοσ. Eθ. – πάλιν καταχωρην (sic) προσπίπτει τε πρὸς τὸ θ. – πρὸς EHQ', Lind., Mack. – εἰς vulg. — [6] τὰ ἀπ' vulg. – J'ai supprimé τὰ, mais sans autorité de mss. — [7] τὰ om. θ. – οὕτως GIJ. – οὕτω vulg. – δ' θ. – ἔκ τε (τε om. Lind.) κεφ. vulg. – ἐκ τῆς κεφ. θ, Mack. – ἅλες ἀθρόον vulg. – ἀθρόον om. E (H, restit. al. manu) IP'θ. – ἐν τῇ ἄνω κοιλίῃ EP'. — [8] σήπτεται K. – πῦον θ. – πύος vulg. — [9] σήπεται δ' ἐπὶ τῶν φλεβων (sic) κεχυμένον θ. – σήπεται.... κεχ. om. vulg. – Ma collation a φλεβων; celle de Mack, φρενῶν, ce qui est la véritable leçon, soit qu'il y ait ainsi dans le ms., soit que Mack ait corrigé son texte, ce qui lui arrive parfois. — [10] δ' θ. – δυοῖν καὶ εἴκοσι θ. – μιῇ καὶ εἰκοστῇ vulg. – τοῦτ' EHθ,

éprouve tout ce qui a été énoncé plus haut. Il convient à ces patients, si vous en prenez le traitement au débnt, de leur ouvrir les veines des bras et de les mettre à un régime qui les rende aussi secs et aussi exsangues que possible. De la même manière sont lésées les veinules du côté qui sont superficielles à l'intérieur; quand elles souffrent, elles deviennent variqueuses et saillantes au dedans; et si on néglige le cas, il survient ces accidents-ci : rupture, crachement et parfois vomissement de sang, empyème et d'ordinaire perte de la vie; mais si le patient est traité dès le début du mal, les veinules rentrent à leur place dans le côté, et la saillie s'en efface. Telles sont les origines de l'empyème du poumon, les accidents qui en résultent, et la fin des malades.

15. (*Empyème dans la cavité de la poitrine produit* 1° *par du phlegme descendant de la tête sur le diaphragme;* 2° *par une pleurésie;* 3° *par du phlegme descendant de la tête et se fixant au côté;* 4° *par une rupture.*) Quant au ventre supérieur (*poitrine*), l'empyème s'y forme de plusieurs façons : le phlegme, quand il y descend de la tête en abondance, pourrit et devient du pus; il pourrit répandu sur le diaphragme; et cette pourriture s'effectue d'ordinaire en vingt-deux jours; on pratique la succussion, et le flot du pus vient heurter les parois de la poitrine; ce patient, cautérisé ou incisé, avant que le pus n'ait vieilli, revient généralement à la santé. Un empyème se forme encore dans le ventre supérieur (*poitrine*) à la suite de la pleurésie, quand elle est forte, et qu'il n'y a ni maturation ni expectoration aux jours décisifs, mais ulcération du côté par l'effet du phlegme et de la bile qui s'y fixent;

Mack.— [11] Supra lin. σκορπίζεται K. - πῦον θ, Mack. - πύος vulg. - πρὸς θ, Mack. - ἐς HIK. - εἰς vulg. - προσπῖπτον Kühn. - προσπίπτον vulg. — [12] πρὶν ῃ (sic) θ. - πῦον θ, Mack. - πύος vulg. - πουλλὰ Lind. — [13] γίνεται FGIK. - κατὰ (μετὰ Lind.) τὴν vulg. - κατὰ om. (H, restit. al. manu) θ, Mack. - ἔμπυον K. — [14] ὡς ὁκόταν EFGHIJKP'Q'. - ὅτ' ἂν θ. - χρισίμησιν FGKL. - χρισίμοισι (H, supra lin.) J. — [15] προσπεπτωκότος θ. - προσπεπηγότος vulg. - πεπηγότος E. - αἵματος pro φλ. J. - τε EIJKLθ, Mack. - τε om. vulg.

καὶ ὁκόταν ἕλκος γένηται, [1]ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πῦος, καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' [2]ἑωυτὸ φλέγμα· καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται [3]πῦος· ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος αἷμα, καὶ γίνεται σηπόμενον πῦος· οὗτος ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν [4]δὲ ἀμεληθῇ, διαφθείρεται. Γίνονται δὲ ἔμπυοι, καὶ ἢν φλέγμα [5]ἐκ τῆς κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ [6]σαπῇ· τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται, καὶ πάσχει ὅσα περ ἐκ πλευρίτιδος, ὅταν ἔμπυος γένηται. Γίνονται δὲ καὶ [7]ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ ἢ ἔμπροσθεν ἢ ὄπισθεν, ῥαγῇ δὲ ὥστε [8]μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ [9]σπάδων γένηται, καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπέλιδνος, καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης, [10]ἢν δὲ καὶ αἴσθηται, μηδὲν πρῆγμα ἡγήσηται· οὕτως ὅταν καταλάβῃ [11]ὥστε αὐτὸν ὑπὸ πυρετῶν λεπτυνθῆναι ἢ [12]ποσίων ἢ λαγνείης ἢ ἄλλου του, [13]ἡ σὰρξ ἡ τετρωμένη ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν· ὅταν [14]δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτὴν καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον, ἔπειτα [15]ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην καὶ βῆχα πυκνοτέρην· [16]καὶ πτύει τὸ μὲν πρῶτον ὑπόπυον, ἐνίοτε δὲ ὑποπέλιδνον καὶ ὕφαιμον· ὅσῳ [17]δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει· καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, [18]τοῦτο πᾶν ἕλκος γίνεται, καὶ ὀδύνην παρέχει [19]ὀξείην καὶ πυρετὸν

[1] Ἀναδίδοται ἄποτε (sic) αὐτὸ εωυτοῦ (sic) ποτον (sic) θ. – πύος vulg. – πῦον Mack. — [2] ἑωυτῷ J. — [3] πῦον (bis) θ, Mack. – πύος (bis) vulg. – ἔνι ὅτε θ. – διαδίδοι θ. – ὑπολειφθῇ J. – πουλλὰ Lind. — [4] δὲ διαμεληθῇ EH. — [5] ἐκ τε κ. vulg. – ἐκ τῆς κ. (L vel Q', non indicavit Foes in not. uter τῆς habuerit) θ, Lind., Mack. — [6] σαπῇ πρὸς τὸ πλευρὸν ὡς θ. – τοτε vel τό τε, sine γὰρ τὸ (E, restit. al. manu τὸ) FGHIJK, Ald. – πουλλὰ Lind. – περ om. E. – γίνηται θ. — [7] ὅτ' ἂν θ. – ταλαιπ. ἐν γυμνασίοις ἢ ἐν αλλω (sic) τω ῥαγῇ θ. – πῶς I. — [8] καὶ, al. manu μὴ E. – πτῦσαι θ. — [9] Supra lin. ταλαίπωρος K. – ἰρύσῃ ἰκμαδασαιγην (sic) θ. – ὑποπέλιος θ. – παθῶν, sine ὁ θ. — [10] ἢν δὲ καὶ αισθηται (sic) θ. – εἰ δὲ καὶ αἰσθάνεται vulg. – ἢν δὲ καὶ αἰσθάνηται EH. – πρῆγμα HJKL, Mack. – πρᾶγμα vulg. – ἡγήσηται θ. – ἡγήσεται vulg. – οὕτως H. – οὗτος vulg. — [11] ὡς ταυτον (sic) θ. – Post πυρ. addit ληφθέντα vulg. – J'ai supprimé, quoique sans mss., ληφθέντα, qui empêche la construction et qui me paraît avoir été produit par la répétition des premières lettres

l'ulcération, étant formée, donne du pus et, par la chaleur, attire à elle, hors des parties voisines, le phlegme, qui, venu à maturation, est expectoré en pus; quelquefois même les veinules fournissent à la plaie du sang, qui devient pus par la pourriture. Le patient, s'il est traité tout d'abord, guérit généralement; mais, négligé, il succombe. Un empyème se forme aussi quand du phlegme s'écoulant de la tète se fixe au côté et pourrit; car alors généralement le côté s'échauffe, et souffre ce que fait souffrir la pleurésie passant à l'empyème. Autre cause d'empyème : dans des fatigues ou des exercices ou de toute autre façon il se fait une rupture ou en avant ou en arrière (t. V, p. 579, § 3; Coa. 418), de telle sorte que du sang n'est pas craché immédiatement, mais qu'une convulsion se forme dans la chair. La chair, prise de convulsion, attire un peu d'humeur, et devient sublivide; sur le moment le patient ne s'aperçoit de rien à cause de sa force et de son embonpoint, ou, s'il s'en aperçoit, il n'en tient compte; mais, quand il lui advient d'être amaigri soit par des fièvres, soit par des excès de boisson ou de coït, soit de toute autre façon, la chair blessée se dessèche et s'échauffe un peu, et tire à elle de l'humeur hors des veines et chairs voisines; attirant ainsi, elle se tuméfie, s'enflamme et provoque une douleur légère et une toux rare et sèche d'abord; puis, à fur et à mesure qu'elle attire davantage à elle, la douleur devient plus forte et la toux plus fréquente; l'expectoration est d'abord subpurulente, quelquefois sublivide et sanguinolente; mais, plus le temps avance, plus l'attraction augmente, ainsi que la corruption. Toute la portion de la chair même qui, au début, était devenue livide, devient une plaie, et provoque une douleur aiguë, de la fièvre

de λεπτυνθῆναι. — [12] ποσιῶν θ. -πόσιος E. -πόσιων H, Lind. -λαγνίης θ.— [13] ἡ HJ, Ald., Lind., Mack. -ἢ vulg. -ξηραίνεται EJP'. -εἰς EH. — [14] δειρύση (sic) θ. — [15] ἐπεὶ pro ἐπὶ IK. -ἔτι pro ἐπὶ P', Mack. -τε καὶ ἐς E. -ἕλκεται pro ἕλκει τε θ. -ἰσχυρῆν (sic) θ. — [16] καὶ repetitur E. -ἔνι ὅτε δὲ καὶ ὑποπέλιον καὶ ὕφαιμον θ. — [17] δ' EHθ. -ἂν om. FGIK. -ἕλκεται pro ἕλκει τε θ. -εἰς E. — [18] τοῦτο πύος (πῦος Kühn; πᾶν pro πύος, E cum πύος al. manu, GHIJK) γίνεται vulg. -[illegible] γίνεται θ, Mack. — [19] ἰσχυρῆν (sic) θ.

καὶ βῆχα πολλήν τε καὶ πυκνὴν, καὶ τὸ πτύσμα [1] εἰλικρινὲς πτύει πῦος· ἢν δὲ χρονίσῃ τὸ πῦος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται [2] αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω, θερμαινομένου δὲ τοῦ σώματος, [3] ἐκτήκεται τὸ ὑγρὸν, καὶ τὸ μὲν ἀπὸ τῶν [4] ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ, καὶ γίνεται πῦος, πρὸς τῷ ἐνεόντι, τὸ δὲ [5] καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ, καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ [6] διέφθειρε τὸν ἄνθρωπον. Τὰ γὰρ ἐσιόντα τῶν σιτίων διαχωρέει [7] ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτέων οὐ γίνεται τῷ σώματι· καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωυτήν· καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε καὶ [8] ῥέγχει οὐ καθαιρόμενος, ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης ἐξασθενέει, καὶ ὡς ταπουλλὰ διαφθείρεται. Μάλιστα [9] δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα [10] καὶ ἄνω ὑπερκειμένη· ὁκόταν γὰρ διαθερμανθῇ [11] ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος· ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἅλες [12] καὶ παχὺ, καὶ, ὥσπερ εἴρηται, τὸ μὲν αὐτοῦ ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ, τὸ [13] δὲ ἐς τὴν κάτω· ὁκόταν οὖν ἄρξηται ἥ τε κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι [14] ὁμαλῶς, οὐδὲ καυθέντες, περιγίνονται· κρατέει γὰρ πρὸς μὲν τὸ πῦον τὰ ἐπιῤῥέοντα κακὰ [15] ἢ τὰ ἀπορῤῥέοντα, αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν, [16] ἢ τρεφόμεναι ὑπὸ τῶν [17] ἐσιόντων.

16. Οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι καὶ ἀπὸ τούτων, ἔνιοι μὲν δι' ὀλίγου ἀπόλλυνται, ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσιν· διαφέρει [18] γὰρ σῶμα σώματος, καὶ [19] ἡλικίη ἡλικίης, καὶ πάθημα

[1] Εἰλ. E. – ἔπειτα pro πτύει Lind. – πῦος (bis) Kühn. – πύος (bis) vulg. – πῦον (bis) θ. – δὲ om. (H, restit. al. manu) θ. — [2] ὑπ' αὐτοῦ vulg. – ὑπ' om. θ. — [3] μάλιστα (μάλ. om. θ) ἐκτ. vulg. — [4] ἀνθρώπων pro ἄνω L. – εἰς K. – συρρεῖν G. – συνρεῖ θ. – πῦον θ. – πῦος Kühn. – πύος vulg. — [5] καὶ om. GIJK L. – εἰς I. — [6] διουν ἔφθειρε (sic) θ. — [7] ἄσηπτα θ. – αὐτέων θ. – αὐτῶν vulg. – ὁμαλῶς θ. – διαθερμασμένης J. – διά τε θερμασμένης θ. — [8] ῥέγκει θ. – ῥαιούσης θ. – ταπολλὰ EJ. – τὰ πολλὰ Hθ. — [9] δ' θ. – τῶν ν. om. FGIJK. — [10] τε καὶ E (H, cum ἐοῦσα post ἄνω). – ἐπικειμένη EQ'θ. – δὲ pro γὰρ E. – διαθερμαθῇ G. — [11] τῆς (sine ὑπὸ) ἄνω κοιλίη(ς erasum) θ. – εἰς K. – ἀποδίδοι θ. — [12] τε καὶ EHθ, Mack. – In marg. τὸ ἁλμυρὸν δοκεῖ λέγειν φλέγμα ἅλες E. – παχὺ, καὶ ὥσπερ εἰρ. τὸ μὲν αὐτοῦ θ. – παχὺ, ὥσπερ εἴρηται (εἴρεται Lind.), καὶ αὐτοῦ τὸ μὲν vulg. — [13] δ' θ. – ὅτ' ἂν sine οὖν θ. – τε θ. – τε om. vulg. —

et une toux forte et fréquente; et l'expectoration est du pus véritable. Si le pus vieillit dans la cavité, tout le corps s'échauffe, surtout les parties voisines; le corps étant échauffé, l'humide se dissipe; une portion, provenant des parties supérieures, afflue dans le ventre supérieur (*poitrine*), et devient du pus à côté du pus préexistant; l'autre portion descend dans le ventre inférieur, qui parfois se dérange par ce flux et emporte le patient. En effet, les aliments introduits passent sans digestion, et le corps n'en reçoit aucune alimentation; le dégorgement par l'expectoration n'est pas facile, attendu que le ventre est échauffé et entraîne tout à lui vers le bas. Le patient est étouffé par la matière de l'expectoration, râle faute de dégorgement, s'affaiblit par le flux de ventre, et meurt d'ordinaire. C'est surtout dans ces maladies qu'un tel flux est fourni par la tête, qui, en effet, est creuse et placée au sommet; quand elle est échauffée par le ventre, elle attire à elle hors du corps la partie la plus ténue du phlegme; quand ce phlegme s'y est accumulé à son tour, elle le rend abondant et épais; et, comme il a été dit, une part descend dans le ventre supérieur, une autre part dans le ventre inférieur. Lors donc que la tête commence à fluer et le reste du corps à se fondre, les patients, même opérés par cautérisation, ne réchappent plus avec facilité, car plus d'humeur mauvaise arrive au pus qu'il n'en est évacué, et les chairs se fondent plus sous l'action du mal qu'elles ne se nourrissent par les aliments.

16. (*Difficulté de dire à l'avance la durée de ces maladies.*) De ceux qui ont des maladies semblables et produites par ces causes, les uns succombent en bref délai, les autres traînent longtemps, car le corps diffère du corps, l'âge de l'âge, la lésion de la lésion (Des vents, § 6); et les uns sont plus durs

[14] ὁμοίως θ. – καυθέντος E. – καθέντε (sic) K. – τὸ πῦον θ. – τοῦ πύους vulg. — [15] καὶ pro ἢ GL. – ἢ καὶ EQ'. – ἢ τὰ om. Ald. – Mack dit que ἢ manque dans θ; ma collation, au contraire, a cet ἤ. — [16] ἢ om. θ. — [17] ἐσ. θ. – εἰσ. vulg. – ὅσοι θ. – νοσ. EHIKθ. – ὀλίγου EHIJKLθ. – ὀλίγον vulg. – πολὺν EH. – πουλὺν Lind. — [18] γὰρ καὶ Hθ. — [19] καὶ ἢ Ald. – καὶ ἠλ. ἠλ. om. θ.

[1] παθήματος · [2] καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν, αἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. Οὔκουν ἐστὶ τὸ ἀκριβὲς εἰδέναι καὶ τυχεῖν εἴπαντα τοῦ χρόνου, ἐν ᾧ ἀπόλλυνται, [3] οὔτε εἰ [4] πολλὸν, οὔτ' εἰ ὀλίγον · [5] οὐδὲ γὰρ οὗτος ὁ χρόνος ἀκριβής, ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλὰ, οὐδὲ αὐτὸ τοῦτο ἐκποιέει· διαφέρει γὰρ καὶ ἔτος ἔτεος, καὶ ὥρη ὥρης, [6] ἐν ᾗ ἂν νοσέωσιν · ἀλλ' ἤν τις θέλῃ περὶ αὐτέων ὀρθῶς γινώσκειν καὶ λέγειν, [7] γνώσεται ὧδε πᾶσαν ὥρην καὶ ἀπολλυμένους καὶ περιγινομένους καὶ πάσχοντας ἅπερ ἂν πάσχωσιν.

17. Τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ [8] συστῇ ἅλες μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος · γίνονται δὲ καὶ ἀπὸ σπασμῶν, [9] καὶ ὅταν φλέβιον σπασθὲν ῥαγῇ · τὸ αἷμα ἐκχυθὲν σήπεται [10] καὶ ἐκπύει · ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει ἐκ τῶν παρ' ἑωυτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται [11] καὶ ἐκπύει. Τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, καὶ τὸ πῦον ἐξέλθῃ, ὑγιέες γίνονται · ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. Κεχυμένον δὲ [12] πῦος ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται [13] ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ' ὥσπερ μοι εἴρηται, ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται· καὶ ἢν μὲν [14] ἔνδον ἀποσημήνῃ, δυσπετὲς γνῶναι · οὐδὲ γὰρ διασείσαντά ἐστιν [15] εἰδέναι · γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἂν ἔῃ, καὶ ἢν καταπλάσῃς [16] τῇ κεραμίτιδι ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

[1] Post παθ. addit καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι vulg. – Voy., note 6, pourquoi j'ai supprimé ici ces mots. — [2] καὶ οἶμαι καὶ οἱ ταλ. θ. – νούσῃσι vulg. – νούσοισι E, Lind., Mack, Kühn. – οὐκ οὖν ἔστι τὸ ἀκριβὲς εἰδέναι καὶ τυχεῖν εἰ πάντα τοῦ χρόνου ἐν ὁπόσῳ ἀπόλλυται θ. – οὔκουν ἐστὶ τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται vulg. – Je prends la leçon de θ, sauf εἴπαντα au lieu de εἰ πάντα. Le participe εἴπας est particulièrement ionien; voy. Buttmann, Gr. Sprachl. § 114, v. εἰπεῖν. — [3] οὔτ' εἰ EHθ. — [4] πουλλὸν Lind. — [5] οὐδὲ θ. – οὔτε vulg. – ὃν θ. – ὧν EH. – ὡς τὰ π. om. FGIJKL. – πουλλὰ Lind. – ἐκποιέει θ. – ἐκπύει vulg. — [6] ἐν ᾗ ἂν νοσέωσιν om. vulg. – Plus haut, note 1, j'ai supprimé καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσιν; ici j'ajoute ἐν ᾗ ἂν νοσέωσιν, le tout sans ms. Cependant je crois la correction sûre : καὶ ὥρη ὥρης, si on le laisse dans les deux passages, fait une répétition inintelligible; καὶ ὥρη ὥρης doit venir naturellement après ἔτος ἔτεος; enfin ἐν ᾗ ἂν νοσέωσιν n'est traduisible que dans le deuxième passage, et ne l'est pas dans le premier. – ἐθέλῃ θ. – θέλει K. – αὐτέων EQ', Mack. – αὐτῶν vulg. — [7] καὶ γν. EHIKQ'. – ὃ δὲ (sic) L. – οὕτω θ. – περὶ γινομένους θ. – περιγεν. vulg. – ἃ EHθ. — [8] συνστῆι αλης (sic) ἐν τῷ μέσῳ τῆς τε θ. – μέση γὰρ pro μεσηγὺ G. — [9] ὅταν καὶ Ald. — [10] τε καὶ θ. – ἐκπύει, al. manu

au mal dans les maladies, les autres sont absolument incapables d'y résister. Donc on ne peut rien préciser, ni réussir à indiquer l'intervalle de temps où ils succombent, soit long, soit court; car généralement ce temps n'a pas la précision que quelques-uns y attribuent, et cela même ne comprend pas toutes les conditions, attendu qu'il y a aussi des différences entre l'année et l'année, entre la saison et la saison où ces gens sont malades. Mais, si l'on veut avoir sur ces malades de justes notions et en bien parler, il faut savoir qu'en toute saison ils meurent, guérissent et souffrent ce qu'ils souffrent (Aph. III, 19).

17. (*Des collections purulentes dans le ventre.*) Du pus se forme dans le ventre inférieur, surtout quand du phlegme ou de la bile se rassemble en abondance entre la chair et la peau; il s'en forme encore à la suite de spasmes et quand une veinule se déchire par convulsion; le sang épanché pourrit et devient pus; si c'est la chair qui éprouve une convulsion ou une contusion, elle attire, des veinules avoisinantes, le sang, qui pourrit et suppure. Ces patients, si le mal pointe au dehors et que le pus sorte, guérissent; mais, si le pus s'épanche spontanément en dedans, ils succombent. Le pus répandu dans le ventre inférieur ne peut se former comme j'ai dit qu'il se forme dans le ventre supérieur, mais il se produit, ainsi que je l'ai déjà dit, en des tuniques et des tumeurs, et, s'il pointe en dedans, le reconnaître est difficile, car on ne peut s'en assurer par la succussion. C'est surtout par la douleur, là où elle se fait sentir, qu'on le découvre; et, si l'on applique de l'argile à potier ou toute autre substance de ce genre sur le lieu, elle se dessèche en peu de temps.

ἐμ (bis) H. - ἐκποιέει (bis) θ. - ἐμπύει (bis) vulg. - θλασθῇ GIJK. - τε ἐκ vulg. - τε om. θ. - παρὰ I. — [11] τε καὶ HJKθ. - τούτοις θ. - τὸ πῦον θ, Mack. - πύος (πῦος Kühn) sine τὸ vulg. - ὑγιὲς θ. - δ' EH. - δὲ κρατῇ ἔσω αὐτόματον θ. — [12] πῦον θ. — [13] ἐνγ. ubique θ. - μοι om. θ. - εἴρηταί μοι J. — [14] ἔσω θ. - οὐδὲ Lθ, Lind., Mack. - οὔτε vulg. — [15] γνῶναι θ. - τῇ τε θ. - ἂν θ. - ἂν om. vulg. - ᾗ θ. - καταπλάσσῃς J. — [16] γῇ Mack. - Mack a pris cette leçon à Gal. Gloss.: γῇ κεραμίτιδι, τῇ ἀργίλῃ. - ἄλλο K. - δι' om., restit. al. manu E.

18. Ἐρυσίπελας [1]δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων· ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης· καὶ [2]ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τὸ αἷμα ἐφ' ἑωυτὸν, μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν· αὗται γὰρ αὐτῷ [3]ἐγγυτάτω εἰσὶ, καὶ ἐπίκεινται ἐπ' αὐτῷ· ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν [4]πλησίον· ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. Ὁκόταν [5]δ' εἰρύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξὺς, καὶ βὴξ ξηρὴ, καὶ πληθώρη ἐν τοῖσι στήθεσι, καὶ ὀδύνη ὀξέη ἐν τοῖσιν ἔμπροσθεν [6]καὶ ὄπισθεν, μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων· καὶ ἐμέουσιν ἄλλοτε [7]μὲν ὕφαιμον, ἄλλοτε δὲ πελιδνόν· ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν· καὶ ἐκψύχουσι πυκνά· ἐκψύχουσι δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης [8]γενομένην. Καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, καὶ τοῦ πυρετοῦ [9]ἔῃ συνεχὴς λῆψις. Τούτῳ ἢν μὲν δύο ἢ τριῶν ἢ τεσσάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον [10]ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται, καὶ [11]ἀπόλλυται· ἀπόλλυται δὲ δι' ὀλίγου, ὅτε τοῦ πλεύμονος διαπύου ἐόντος ὅλου καὶ σαπροῦ· ἢν [12]δὲ ἔξω καταχεχυμένον ἔσω τράπηται καὶ λάβῃ τοῦ πλεύμονος, τοῦτον οὐδεμίη ἐλπὶς περιγενέσθαι· ὅταν γὰρ προαπεξηρασμένος ὁ πλεύμων εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ ἂν ἔτι μεταστείη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης [13]οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρεν.

19. [14]Φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε· ὁκόταν φλέγμα ἢ

[1] Δ' Εθ. — [2] ὅτ' ἂν θ. - τὸ αἷμα ἐφ' θ. - τοῦ αἵματος πλεῖστον ἐφ' vulg. — [3] ἐγγυτάτῳ (sic) θ. - ἐγγύταται vulg. — [4] πλησίων θ. — [5] δὲ ῥύσῃ vulg. - δ' εἰρύσῃ E. - δὲ εἰρύσῃ K. - ὅτ' ἂν δειρύηι (sic) θ. - ὀξέῃ θ. - ὀξείῃ vulg. — [6] τε καὶ θ, Mack. — [7] μὲν om. θ. - δὲ om. θ. - ἐκψυχοῦσι (bis) vulg. - ἐκψύχουσι (bis) Εθ, Mack. - πυκινὰ ΕΗθ. — [8] γενομένην K. - γινομένην vulg. — [9] ἡ pro ἔῃ θ. - ἦν ΕΗθ. - εἰ vulg. - τεσσάρων ΕΗ, Mack. - τεττάρων vulg. - τεσσέρων θ. - ἡμερέων τὸ πλ. J. — [10] ὡς τὸ pro ἐς τὸ K. - ἐς τὸ om. θ. - πουλλὰ Lind. — [11] ἀπόλλυνται E. - διαπύου θ. - ἐμπύου vulg. — [12] δ' ΕΗθ. - Mack dit que ἔξω καταχεχυμένον manque dans θ. Il n'en est rien. - ἔσω HIKθ, Lind. - εἴσω vulg. - λάβῃ θ. - λάβηται vulg. - καταλάβηται EP'Q', Lind., Mack. - τοῦτον EKθ, Mack. - τούτου vulg. - τούτω L. - οὐδεμία ΕΗθ. - προαπεξηρασμένος ΕΗθ. - προαπεξηραμένος vulg. - προαπεξηραμμένος Mack. — [13] οὔτε pro οὐκ ἔτι θ. - ἀναδίδοι θ. - δι ουν (sic) ἔφθειρε θ. — [14] φύμα ubique IKθ. - ὅτ' ἂν θ.

18. (*De l'érysipèle dans le poumon. Ce paraît être une affection aiguë du poumon dans laquelle un érysipèle survenait, ce qui était jugé favorable, ou rétrocédait, ce qui était jugé funeste.*) L'érysipèle se forme dans le poumon, quand cet organe a un excès de sécheresse. Or, l'excès de sécheresse s'y produit par la chaleur, par les fièvres, par les fatigues, par l'intempérance. Quand il est desséché excessivement, il attire à lui le sang, principalement et le plus des grandes veines (elles lui sont le plus voisines et gisent sur lui); mais il attire aussi des autres veines qui sont proches, et il attire la partie la plus ténue et la plus faible. Ayant ainsi attiré, il provoque une fièvre aiguë, une toux sèche, de la plénitude dans la poitrine, une douleur intense en avant et en arrière, surtout au rachis, attendu que les grandes veines sont échauffées. Les patients ont des vomissements tantôt sanguinolents, tantôt livides; ils vomissent aussi du phlegme et de la bile; ils ont des défaillances fréquentes, défaillances qui proviennent du déplacement subit du sang. Ce sont là les signes principaux quand le poumon est affecté d'érysipèle et que la fièvre est continue. Chez ce patient, si en deux, ou trois, ou quatre jours au plus, il y a effusion et métastase du dedans au dehors, la santé se rétablit d'ordinaire; s'il n'y a ni effusion ni métastase, il se forme corruption et empyème, et le malade succombe, et il succombe en peu de temps, le poumon étant tout entier purulent et putride. Si, répandu au dehors, l'érysipèle se tourne au dedans et saisit le poumon, il n'y a aucune espérance de salut, car, lorsque le poumon préalablement desséché attire à lui, il n'y a plus de métastase possible; mais, dès lors, en raison de la chaleur et de la dessiccation, il ne reçoit plus rien, ni ne se débarrasse de rien par le haut, et le patient succombe.

19. (*Des tumeurs dans le poumon. On ne voit pas bien la différence entre ces tumeurs qui suppurent dans le poumon et l'empyème du poumon indiqué plus haut.*) Les tumeurs se forment ainsi dans le poumon : quand de la pituite ou de la bile

χολὴ [1]ξυστραφῇ, σήπεται, καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν καὶ βῆχα ξηρήν· ὁκόταν δὲ πεπαίνηται, ὀδύνη [2]γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξέη, καὶ θέρμαι λαμβάνουσι καὶ βὴξ ἰσχυρή· καὶ [3]ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ, καὶ ἄνω τράπηται τὸ πῦον, καὶ ἀναπτυσθῇ πᾶν, καὶ [4]ἡ κοιλίη, ἐν ᾗ [5]τὸ πῦον ἔνι, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦμα ἀναδιδῷ τὸ πῦον, [6]ὀλέθριον τοῦτο, καὶ ἀπὸ τῆς κεφαλῆς [7]τε καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα σήπεταί τε καὶ πῦον γίνεται καὶ πτύεται, δι' οὗ ἐφθάρη. Διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ' ὧν περ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται· λεσχηνευομένου [8]δὲ αὐτοῦ καὶ φρονέοντος πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται, [9]καὶ ξυμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ, ἐνίοτε δὲ ὑπὸ [10]χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. Ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε [11]ἀπὸ ταυτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενέων ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. Ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετέϊ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται [12]τρόπῳ τῷ αὐτῷ. Ἢν [13]δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, [14]τὸ παραυτίκα μὲν δοκέει ῥάων εἶναι· προϊόντος

[1] Ξ. θ, Lind. - σ. vulg. - ὠμότερος FGJ. - ᾖ θ. — [2] Addunt τε EH (τ' θ). - ἐνγίνεται θ. - ὀξέῃ θ. - ὀξείη vulg. — [3] ἢν om., restit. al. manu E. - εἰ K. - ῥάγηται θ. - πῦον.... τὸ om., restit. al. manu E. — [4] ἡ Hθ, Mack. - ἡ om. vulg. — [5] τὸ ποῖον IJ. - ἔνῃ (sic) θ. - ἔνι om. vulg. - προσπέσηται sine τε vulg. - προσπέσῃ τε IJK, Lind., Mack. - Post τε addunt τὸ πῦον GIJK. - ὑγιὲς G. - ὅτι om. θ. - καθαίρηται θ. - ἀναδίδω θ. - ἀναδιδοῖ vulg. - τὸ om. θ. — [6] ὀλ. τ. om. (E, restit. al. manu) GHIJKθ, Ald. — [7] τε EHθ, Mack. - δὲ vulg. - πτύηται διοῦν ἐφθάρῃ (sic) θ. - ὑπὸ τῆς γ. ῥ. ἢ ἀφωνπερ (sic) τὸ πρόσθεν εἴρηται θ. - In marg. λεσχηνεύω κατὰ τοὺς γραμματικοὺς τὸ φλυαρῶ J. — [8] δὲ θ. - τε vulg. - ἀφρονέοντος θ. - ἃ pro ὡς θ. - ὡς om. (E, restit. al. manu) FGH, Ald. — [9] καὶ om. FGIJK, Ald., Lind. - ξ. θ, Lind. - σ. vulg. - συμμύει τε φλ. πάντα τὰ ἐν τῷ σ. J. - ἅτε τοῦ σώματος ἐκκεκαυμένου ὑπὸ πυρετῶν θ. - αὐτῶν EH. — [10] χρόνου.... πολλοῦ om. θ. - νόσου J. — [11] ἐκ τοῦ

s'est amassée, elle pourrit, et, tant qu'elle est à l'état de crudité, elle produit une douleur légère et une toux sèche ; mais, quand il y a maturation, la douleur devient aiguë en avant et en arrière, et des chaleurs et une toux forte saisissent le malade. Si la maturation et la rupture sont très-promptes, si le pus prend la voie d'en haut et est expectoré entièrement, et si la cavité où est le pus s'affaisse et se dessèche, le patient guérit complétement. Au contraire, si, même avec une rupture et une maturation promptes, avec un dégorgement, la cavité ne peut se dessécher entièrement, mais si la tumeur fournit par elle-même le pus, le cas est funeste ; car le phlegme affluant de la tête et du reste du corps dans la tumeur, pourrit, devient pus et est expectoré; de là la perte du malade. Et il succombe, par le flux de ventre à la suite des accidents que j'ai indiqués dans les cas précédents, tout en parlant et en ayant sa pleine connaissance comme auparavant ; il se dessèche et expire, toutes les veinules du corps se fermant, attendu que le sang en a été consumé par la fièvre, et quelquefois par la longueur du temps, par la grandeur de la maladie, par le mal originaire et les complications survenues. Dans le cas où la rupture ne peut s'en faire en beaucoup de temps ni spontanément ni par les remèdes, le patient se fond par les douleurs intenses, par le défaut d'alimentation, par la toux, par la fièvre, et d'ordinaire il succombe. Si le pus fait éruption alors que le malade est déjà amaigri et alité, il n'y a guère de chance de salut, et la mort arrive de la même manière. Si la rupture et la maturation sont, il est vrai, très-rapides, mais qu'ainsi mûri, le pus s'épanche en grande partie sur le diaphragme, le malade paraît d'abord être plus à l'aise ; mais le temps marche, et alors,

αὐτομάτου EHθ. – ὁ om. Ald. – ἀσθενέων Jθ. – ἀσθενῶν vulg. – ὑπό τε θ. – ἰσχυρέων EIJK. – λελεπτυσμένω EHJθ, Mack. – λελεπτισμένῳ vulg. – κλεινοπετη (sic) θ. – κλινοπετεῖ K. – οὕτως EGHJ. — [12] τρ. τῷ αὐτῷ θ. – τρ. τοιούτω E. – τρ. τοιῷδε vulg. — [13] δὲ om. J. — [14] τὸ γὰρ αὐτίκα θ. – μὲν δοκ. EHθ. – δοκ. μὲν vulg. – ῥᾷον HJKL.

δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πῦος [1]ἔνι, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται· ἢν δὲ ὅ τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπτύσαι μὴ δύνηται, ἀλλὰ καυθῇ ἢ τμηθῇ, καὶ τὸ [2]πῦος ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥᾴων γεγονέναι, προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ ἐν τῇ πρώτῃ εἴρηται.

20. Ἐν δὲ τῷ πλευρῷ γίνεται μὲν φύματα καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ χολῆς κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι· γίνεται δὲ καὶ ἀπὸ [3]πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ, ἢ σπασθῇ μὲν, ῥαγῇ δὲ μὴ παντελῶς, ἀλλὰ [4]σπάδων ἐν αὐτῷ γένηται· ἢν μὲν οὖν ῥαγῇ παραυτίκα, τὸ αἷμα [5]τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου σήπεταί [6]τε καὶ ἐκπυέει· ἢν δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ' ἀρχὰς μὲν ὀδύνην τε παρέχει καὶ σφύζει, προϊόντος δὲ τοῦ χρόνου διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ πῦος γίνεται. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ, ἢν μὲν μᾶλλον πονέσῃ, πλέον [7]τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα ἐκπυέει· ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερον [8]καὶ ἕλκει καὶ ἐκπυέει. Ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν ἢ ἐν [9]τῇσι φλεψὶν, οὐκ ἐκπυίσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, ἃ καὶ καλέουσι ῥήγματα. Καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται· [10]ὁκόταν ἡ σὰρξ [11]πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὥσπερ [12]προεῖπον, πελιδνὴ, [13]πελιδνὴ δὲ οὐχ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρέϊ, καὶ τούτῳ ὀλίγῳ· ὅταν [14]δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐς ἑωυ-

[1] Ἐνῇ (ἐνῇ om., E restit. al. manu, FGJKL) vulg. – προσπέσηται καὶ θ. – καὶ om. G. – ἀποξηρανθῇ E. – δύνηται EHθ, Mack. – δύναται vulg. — [2] πῦον θ. – πύος vulg. – πῦος Kühn. – δοκέει δή τι θ. – ῥᾷον L. – εἶναι pro γεγ. Hθ. — [3] τῶν π. vulg. – τῶν om. Hθ. – ὅτ' ἂν θ. – ῥαγῇ, ἢ σπασθῇ μὲν, ῥαγῇ δὲ μὴ θ. – ῥαγῇ, μὴ ῥαγῇ δὲ vulg. — [4] Supra lin. ἢ σπάσμα K. — [5] τὸ om. θ. — [6] τε om. θ. – ἐκπυέει θ. – ἐκπύει vulg. – ἢν Hθ. – εἰ vulg. – τοῦτο om. FGIJK. – Ante κατ' addunt δὲ EHθ. – ὀδύνας θ. – τε om. Lθ. – διαδίδοι θ. – εἰς IJK. – πῦον θ. – πονήσῃ (bis) θ. — [7] τε τοῦ vulg. – τε om. Lθ. – ἐγγυτάτων K. – φλεβίων θ. – ἐκπυέει (bis) θ. – ἐκπύει (bis) vulg. – ἐμπύει GIJK, Ald. – δησσον (sic) θ. – πονέσει Lind. – σχολέτερον θ. — [8] τε καὶ vulg. – τε om. EHθ. – ἐνίησι K. – δ' ὅταν θ. – γένωνται τὰ σ. ἢ ἐν τῇ σαρκὶ θ. — [9] τοῖσι G, Ald. – ἃ θ. – ἃ om. vulg. – ὅσα θ. — [10] ὅτ' ἂν δὲ ἡ θ. — [11] πονήσῃ θ. — [12] εἴρηται EHθ. — [13] πε-

ou bien le pus est entièrement expectoré, la cavité qui le contenait s'affaisse et se dessèche, et le malade guérit; ou bien, après un plus long intervalle de temps, le patient s'affaiblit, ne peut expectorer; on l'opère par cautérisation ou incision; le pus est évacué, et d'abord de cette façon aussi il paraît être devenu un peu plus à l'aise, mais il n'en finit pas moins par succomber aux mêmes accidents indiqués dans le premier cas.

20. (*Des tumeurs du côté. Des ruptures.*) Des tumeurs se forment dans le côté, et par le phlegme et par la bile, de la même façon que dans le poumon; elles viennent aussi à la suite de fatigues, quand quelqu'une des veinules, prise de convulsion, se rompt, ou, prise de convulsion sans se rompre entièrement, devient le siége d'un effort. Si donc il y a rupture immédiate, le sang épanché de la veinule pourrit et devient pus; si, au contraire, il y a effort dans la veinule, cela d'abord cause de la douleur et des battements, puis, avec le temps, la veine laisse aller du sang dans la chair, et ce sang, pourri dans la chair, devient du pus. De la même façon, la chair, ayant fortement souffert, attire à elle hors des veines les plus voisines un excès de sang, dont il se fait du pus immédiatement; ayant moins souffert, l'attraction et la transformation en pus sont plus lentes d'autant. Chez quelques-uns, quand les convulsions dans les chairs ou dans les veines sont faibles, il n'y a pas suppuration, mais il surgit des douleurs de longue durée qu'on appelle aussi ruptures (Des vents, § 11). Tout ce qui arrive dans la chair arrive ainsi : quand la chair a souffert, soit d'une convulsion, soit d'un coup, soit de toute autre façon, elle devient, comme je l'ai déjà dit, livide, et livide non par un sang pur, mais par un sang ténu, aqueux et en petite quantité; mais, quand elle a été desséchée plus que d'ordinaire, elle s'échauffe, cause de la douleur, et attire à elle l'hu-

λιδνή δὲ θ. – π. δὲ om. vulg. – οὐχ ἐν ελ. GIK. — [11] δ' EH. – τε om. E. – εἰς E. – ἀπὸ τῶν πλησιων (sic) καὶ φλεβῶν καὶ σαρκῶν θ. – ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον vulg.

τὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν [1]τὸ ὑγρόν· καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπ' αὐτῆς τῆς σαρκὸς, [2]σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη, καὶ μᾶλλον δή τι σκίδναται [3]ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας· ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν, ἕλκουσι δὲ καὶ αἱ σάρκες. [4]Ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς [5]ἔλθῃ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ ἀντὶ νενοσηκότος γίνεται ὑγιὲς τῷ χρόνῳ· ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει, καὶ ὅπη ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ καταστηρίξῃ, ὀδύνην παρέχει ὀξέην, καὶ δοκέουσιν ἔνιοι [6]αὐτοῖσι τὸ ῥῆγμα μεθεστάναι· τὸ δὲ οὐκ ἀνυστόν· [7]ἕλκος γὰρ μεταστῆναι οὐκ ἀνυστόν· ἐγγυτάτω [8]δὲ ἑλκεός ἐστιν ὁκόσα τοιαῦτα· ἀλλὰ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν ἀΐσσει διὰ τῶν φλεβίων. [9]Ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, ὀδύνην παρέχει, ἔστ' ἂν [10]γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. Ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι [11]γίνεται, αὐτὸ μὲν τὸ [12]φλέβιον, ὁκόσον ἔσπασται, κατὰ χώρην μένει· ὅταν δὲ σπασθῇ, σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης, [13]γίνεται οἷον κιρσός· [14]διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸ [15]νοτίδα τινὰ ὑγρήν· ἡ δὲ νοτίς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος. Καὶ [16]ὁκόταν μιχθῇ τό τε αἷμα καὶ τὸ ὑγρὸν [17]τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα [18]πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τε καὶ πλέον· καὶ [19]ὁκόταν πλέον γένηται, [20]μετανέστη τὸ πλήρωμα, ᾗ ἂν

[1] Τῶν, emend. τὸν J. – ὅτ' ἂν θ. – διαθερμανθῇ θ. — [2] σκίδναται.... τι om. θ. – εἰρυσθαι FG. – εἰρύσθαι K. — [3] εἰς K. — [4] ὅτ' ἂν θ. – δ' EHθ. — [5] ἔλθῃ θ. – ἑλκυσθῇ vulg. – ἄδηλόν τε θ. – πλεῖον θ. – καταστηρίξει E. – ὀξέην θ. – ὀξείην vulg. — [6] ἑωυτοῖσι θ. – μεθεστάναι HIKθ. – μεθιστάναι vulg. – μεθεστᾶναι E. – μεταστῆναι Mack. – δ' θ. — [7] ἕλκος γὰρ μεταστῆναι οὐκ ἀνυστὸν θ. – ἕλκος.... ἀνυστὸν om. vulg. — [8] δ' θ. – ὅσα θ. – τοιαῦτα· ἀλλὰ τὸ ἀπὸ θ. – τοιαῦτα καὶ (καὶ om., E restit. al. manu, HKL) ἄλλα· τὸ ἀπὸ (τὸ δὲ ἀπὸ L, Lind., Mack) vulg. – φλεβῶν θ. — [9] ὅτ' ἂν θ. – τε om. θ. – καὶ ὀδύνην vulg. – καὶ om. θ. — [10] ὅμ. γέν. EHθ. – ὅσα δ' ἐν θ. — [11] γίν., [ὧδε ἔχει.] Lind. — [12] φλεβίον E. – ὅσον θ. – μὲν εἶ (sic) θ. — [13] Ante γίν. addunt ὁκόταν σπασθῇ EH, Ald.; καὶ ὅτ' ἂν σπασθῇ θ. – χρεῖσσος θ. — [14] καὶ διαθ. EH. – διαθ.... ἑωυτὸ om. θ. – τε pro δὲ E. – ἑωυτὸ K. – ἑωυτὸν vulg. – Mack cite autrement le ms. θ; mais je suis constamment la collation qui m'a été envoyée. — [15] καὶ οτιδα (sic) θ. – τινὰ om. (H, restit. al. manu) θ. — [16] ὅτ' ἂν θ. – τε τὸ θ. – καὶ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν θ. — [17] τὸ om. J. – παχύνεταί τε EHIKθ. – τὸ

mide hors des veines et chairs voisines. La chair ainsi humectée outre mesure, et ce liquide à son tour étant échauffé en excès par la chair elle-même, tout ce qui avait été attiré se dissipe par tout le corps, de telle sorte cependant qu'il en va plus dans les veines que dans les chairs, car les veines attirent plus que les chairs, bien que les chairs attirent aussi. Lorsque la petite quantité d'humide venant de la chair arrive dans la masse de l'humide du corps, elle n'y est ni visible ni douloureuse, et, à la longue, elle devient saine d'altérée qu'elle était. Mais, si la chair s'échauffe davantage et attire plus d'humide, elle cause de la douleur; partout où ce qui vient d'elle se jette et se fixe, une souffrance aiguë se fait sentir, et quelques malades s'imaginent que la rupture s'est déplacée; mais cela n'est pas possible. En effet, une plaie ne peut se déplacer; or, de telles lésions ont beaucoup d'analogie avec les plaies. Mais c'est le liquide fourni par la chair qui s'élance par les veinules. Quand ce liquide s'est échauffé, épaissi et accru, il cause de la douleur jusqu'à ce qu'il soit devenu semblable au reste du liquide en ténuité et en température (De l'anc. Méd., §§ 14 et 19; de la Nat. de l'Homme, § 4). Quant à ce qui se passe dans les veinules, toute veinule qui subit une convulsion reste en place; mais, après cette lésion, qui est l'effet de la tension et de la violence, il se forme comme une varice; elle s'échauffe et attire à elle une certaine vapeur humide; cette vapeur vient de la bile et du phlegme. Le sang et l'humide venant de la chair se mêlent; par ce mélange le sang est rendu, là où la veine se trouve avoir subi la convulsion, un grand nombre de fois plus épais qu'il n'était auparavant, et il devient altéré, plus stationnaire et plus abondant; étant devenu plus abondant, le trop-plein se transporte là où le veut la

αἷμα om., restit. al. manu H. — [18] καὶ πολλ. vulg. - καὶ om. θ. - στασιμώτερόν τι (τε pro τι θ, Mack; τι om. K) (addunt καὶ EHθ, Mack) ἐπὶ (ἐπὶ om. θ, Mack) πλέον vulg. — [19] ὅτ' ἂν θ. — [20] μετουν (sic) ἔστι θ. - ὀξέην θ. - ὀξείην vulg. - ὥστ' ἐν τοῖσι δοκέει θ. - μεθεστάναι θ. - μεθιστάναι vulg. - μεταστῆναι Lind., Mack.

τύχῃ, καὶ ὀδύνην παρέχει ὀξέην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθεστάναι· καὶ [1]ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεταστῆναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει καὶ νάρκην καὶ [2]νωθρίην· καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, [3]ἢ ἐς τὸν ὦμόν τε [4]καὶ τὸν νῶτον τείνει, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. Γίνεται δὲ [5]τὰ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον [6]αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων.

21. Ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι [7]γίνονται, ἢν ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἐσωτέρω τρωθῶσιν, [8]ἕως μὲν ἂν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν ἀνὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτὸ, καὶ τὸ θερμὸν [9]ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται.[10]εὐκόλως τὸ πῦον καὶ ἢν δή τι ἄλλο. Καὶ ἢν μὲν ὑγιανθῇ [11]τό τ' ἔνδον καὶ τὸ ἔξω δμοῦ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ [12]δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται· καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ [13]καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ [14]ἔσω ἀσθενὴς γένηται καὶ τρηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ [15]ὧδε ἔμπυος γίνεται· ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν νούσῳ ἑτέρῃ [16]ληφθεὶς λεπτυνθῇ. Ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω [17]τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξέην καὶ βῆχα καὶ πυρετόν· καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος διὰ τὸ πλέον [18]τε καὶ θερμότερον εἶναι· καὶ αὐτὸ ἀφ' [19]ἑωυτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πῦον [20]ἀποκαθαίρεται, καὶ προσιητρεύεταί τε διὰ πλείονος, καὶ σχολαίτερον ὑγιαίνεται· ἐνίοτε δὲ [21]οὐδ'

[1] Ἂν EHIJK. – ὥστ' θ. – μεταστῆναι EHθ. – μεθιστάναι vulg. – ἐν om. θ. – παρέχειν K. — [2] νωθρείην J. – ἐς om. G. — [3] ἢ vulg. – Il faut lire ἢ et prendre τείνει des mss. – ὦμόν τε καὶ om., restit. al. manu H. — [4] καὶ ἐς τὸν ὦτον (sic) θ. – τείνει HJθ. – τείνῃ vulg. – ἐς pro ὡς FG. — [5] τὰ θ, Mack. – τὰ om. vulg. – σπάσμα FGIJK. — [6] αἴρῃ θ. – ὅσοι θ. – ὀκόσοισι GJ. — [7] γένονται G. – ἢν θ. – ἢ pro ἢν vulg. – ἀπὸ G. – ἐσωτέρω θ. – ἔσω vulg. — [8] ἕως θ, Mack. – τέως vulg. – ἂν EHIJKθ, Mack. – ἢν vulg. – ἔξω τὸ ἕλκος EHθ. – Ante ἀναπν. addit ἢ al. manu H. — [9] ἐφ' FG, Ald. — [10] ταύτῃ pro εὐκόλως θ. – εὐκ. om., restit. al. manu H. – πύος JK. – καὶ δι' ἣν (ἢν J) τι ἄλλο vulg. – καὶ ἢν δῆ (sic) τι ἄλλο θ. – καὶ δὴ ἤν τι ἄλλο K', Lind., Mack. — [11] Ante τό addit ταύτῃ H. – τοτένδον (sic) θ. – τό τε εἴσω (ἔσω Lind.) vulg. — [12] δ' θ. — [13] τὸ ἔνδον sine καὶ θ. — [14] ἔσωθεν E. – ἀσθενής τε θ. — [15] ὧδε om. θ. – πονήσῃ τι θ. — [16] ληφθεῖσα θ. – οὕτω EGI. – πρὸς συμφυῇ θ. — [17] τῷ L. – ὀξέην θ. – ὀξείην vulg. —

chance, et y cause une douleur aiguë, de telle sorte que quelques-uns croient que la rupture s'est déplacée chez eux. Si le déplacement s'est fait sur l'épaule, on ressent dans le bras pesanteur, engourdissement et lenteur (Aph. VI, 22). Mais s'il se fait sur la veine qui se rend à l'épaule et au dos, la douleur se calme d'ordinaire sur-le-champ. Ces ruptures sont encore produites par les fatigues, les chutes, les coups, les efforts pour soulever un poids trop lourd, les courses, la lutte et toute autre cause de ce genre.

21. (*Des plaies pénétrantes de poitrine.*) Dans les empyèmes, suite de plaies pénétrantes faites par une lance, un poignard, une flèche, tant que la plaie a respiration au dehors par la solution primitive de continuité, cette voie lui sert à la fois à attirer à elle le froid et à exhaler loin d'elle le chaud, et permet l'issue facile du pus et du reste. Si le dedans et le dehors guérissent en même temps, le blessé recouvre complétement la santé. Si le dehors guérit sans que le dedans guérisse, il se forme un empyème (Coa. 421). Si, malgré la guérison simultanée du dedans et du dehors, la cicatrice intérieure devient faible, inégale et livide, elle se déchire parfois, et c'est encore une cause d'empyème; elle se déchire aussi quand le patient se fatigue trop, ou maigrit, ou a soit de la pituite, soit de la bile qui vienne se fixer sur la cicatrice, ou, pris d'une autre maladie, perd l'embonpoint. Une ulcération s'étant formée soit ainsi, soit parce que le dehors s'est cicatrisé avant le dedans, il en résulte une douleur aiguë, de la toux et de la fièvre. L'ulcération attire à elle le frais parce qu'elle est pleine et trop chaude, et elle exhale le chaud; le pus s'évacue, le traitement se prolonge, et le patient guérit plus lentement; quelquefois même il ne guérit pas. En effet,

[18] τε καὶ θ, Lind., Mack. – τε (τὸ pro τε E) sine καὶ vulg. – Peut-être faudrait-il lire διὰ τὸ πλέον τὸ θερμὸν εἶναι. — [19] ἑαυτοῦ E. — [20] ἀποκαθαίρεται διαπλείονος· καὶ προσανιητοντε (sic) καὶ σχολέτερον ὑγιάζεται πολλῷ θ. – τε post πλείονος II. – σχολαίτερον EHIKL, Lind. – σχολαιότερον vulg. — [21] οὐδὲ E. – ὑγιάζεται Q'θ, Lind.

ὑγιαίνεται· ἡ γὰρ σὰρξ [1] ἡ τοῦ ἕλκεος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται, [2] καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι· ἀλλ' [3] ὁκόταν ὁ χρόνος προίῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ [4] ἔσω ῥυῇ τὸ αἷμα καὶ ἐνσαπῇ, ἔμπυος γίνεται· καὶ ἣν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ [5] τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος [6] συμφυῆναι, μήτε ἡ φλὲψ στεγνωθῆναι, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε [7] ἀναδιδῷ αἷμα, καὶ [8] ἢ παραυτίκα ἐμέηται [9] ἢ πτύηται, ἢ καὶ σήπηται [10] καὶ πῦον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ, ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. Πολλάκις [11] δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπό τινων πόνων, ἢ γυμνασίων, ἢ [12] ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ὕστερον χρόνῳ· ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ [13] πρόσθεν· ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοέει, καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις, ἢ ἄλλοτε [14] μὲν καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον, πῦον δὲ πτύοντες ἀνὰ [15] πάσην ἡμέρην πολλόν τε καὶ παχὺ, [16] διεφθάρησαν τρόπῳ τοιούτῳ ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται.

22. Τοῖσι δὲ ταῦτα τὰ [17] νουσήματα ἔχουσι καὶ ὅσα τοιαῦτα, διαφέρει [18] ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως ἀνήρ [19] τε γυναικὸς, [20] καὶ νεώτερος γεραιτέρου, καὶ γυνὴ νεωτέρη [21] παλαιο-

32. (*De la mort dans la pleurésie et la péripneumonie.*) On succombe à la pleurésie quand, dès le début, beaucoup de phlegme et de bile se fixe au côté, que beaucoup continue d'affluer du reste du corps, et que l'abondance de ces humeurs empêche le malade d'en triompher par expectoration et par maturation. Les artères (*bronches*) se remplissent des matières, phlegme et pus, qui s'y trouvent ; alors le patient râle ; il respire fréquemment et du haut de la poitrine ; enfin tout s'obstrue, et il succombe. C'est de cette même façon que tue la péripneumonie.

33. (*De la mort dans le causus.*) Mais ceux qui meurent du causus meurent tous de sécheresse ; d'abord se dessèchent les extrémités, pieds et mains, puis les autres parties sèches.

ἐμμ. om. θ. -μένη GJ. -μένει Ald. -τεθηλυσμένον θ. — [11] τῆς om. θ, Mack. -δτ' ἂν θ. — [12] τε KJθ. -δὲ (δὲ om. G) vulg. — [13] τούτων θ. -τ. om. vulg. — [14] τε om. θ. -τότε θ, Mack. -τοῦτο pro τότε vulg. -ῥέγκει θ. -ἄνωθεν om. dans vulg. par une faute d'impression qui est répétée dans Kühn. -ἀποφράσεται E. -τε πάντα θ. -ἀποθνήσκεται Ald. -τοῦτον om. Kθ. — [15] δὲ E (δ' θ; τε K; γὰρ L, Lind.). -δὲ om. vulg. -αὐτῶν μὲν πρῶτον θ. -ἀκροτήρια GHI.

πόδες τε καὶ χεῖρες, ἔπειτα δὲ τὰ ἐπιξηρότερα· [1] ὁκόταν δὲ ἐκκαυθῇ [2] καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, τὸ μὲν αἷμα πήγνυταί τε παντελῶς καὶ ψύχεται, τὸ [3] δὲ ἄλλο σῶμα ἀποξηραίνεται, καὶ οὕτως ἀποθνήσκει.

34. Ὑπὸ δὲ τῆς φρενίτιδος [4] ἀπόλλυνται ὧδε· παραφρονέουσιν ἐν τῇ νούσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ κεκινημένου οὐ τὴν ἐωθυῖαν κίνησιν· καὶ ἅτε παραφρονέοντες, οὐκέτι τῶν προσφερομένων δέχονται, ὅ τι ἄξιον λόγου· [5] ὅταν δὲ προΐῃ ὁ χρόνος, μαραίνονταί [6] τε καὶ μινύθουσιν ὑπό τε [7] τοῦ πυρετοῦ καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι· καὶ πρῶτα μὲν τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι [8] μινύθει τε καὶ ψύχεται, ἔπειτα δὲ τὰ ἐπ' ἐγγυτάτω. Καὶ ψύχεός [9] γε καὶ πυρὸς καὶ πόνων ἀρχὴν ταύτην ἴσχει· ὅταν τὸ αἷμα [10] ἐν τῇσι φλεψὶν ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει [11] τε καὶ ξυσπᾶται ἅλες ἄλλοτε [12] ἄλλῃ, καὶ τρέμει, τέλος δὲ ψύχεται πάντα, καὶ ἀποθνήσκει.

[1] Ὀκότε FGK. – ὅτ' ἂν δ' θ. — [2] τε καὶ θ. — [3] δ' θ. – θνήσκει sine οὕτως FGIJK. — [4] ἀπόλλυνται θ. – ἀπόλλυται vulg. – οὕτω θ. – νούσω EHθ, Mack. – νόσῳ vulg. – ἐκφθαρμένου G. – κεκινημένου θ. – ἐκκεκινημένου vulg. – οὐ θ. – οὐ om. vulg. – εωθοιαν (sic) θ. – εἰωθυῖαν vulg. – εἰωθείαν K. – εἰωθυίαν I, Frob. – οὔτε τι vulg. – οὐτέτι (sic) θ. – ὅ γε om. K. – ὅ τι καὶ θ. — [5] ὅτ' ἂν θ. – τε pro δὲ Hθ. — [6] τε om. θ. – μηνύθουσιν Jθ. — [7] τοῦ om. J. – ἐσιέναι ἐς τὸ σῶμα (H, al. manu τρέφεσθαι) θ. – ἀκροτηρίοισι H. — [8] μηνύθει GJθ. – μινύθει τε (καὶ ξηραίνεται al. manu) καὶ ψύχεται (πάντα al. manu) H. – ἐπὶ θ. — [9] γε EH. – δὲ vulg. — [10] τὸ ἐν vulg. – τὸ om. Jθ, Mack. — [11] τε καὶ om. θ. – ξυνσπᾶται θ. – συσπᾶται vulg. — [12] ἄλλο, par une faute d'impression de Frob. répétée dans vulg. et Kühn.

Quand l'humide est complétement tari dans le corps par combustion et dessiccation, le sang se coagule tout à fait et se refroidit; le reste du corps se dessèche, et le patient succombe ainsi.

34. (*De la mort dans la phrénitis.*) Dans la phrénitis, voici comment arrive la mort : le patient délire continuellement dans le cours de la maladie, vu que le sang est gâté et se meut d'un mouvement qui ne lui est pas habituel. Dès lors, étant dans le délire, les patients ne prennent pour ainsi dire plus rien; mais la maladie dure; l'amaigrissement et le marasme viennent par l'effet de la fièvre et faute d'alimentation. L'amaigrissement et le froid s'emparent d'abord des extrémités, puis des parties les plus voisines. Telle est l'origine du froid, de la fièvre et des souffrances. Quand le sang est refroidi dans les veines par le phlegme, il se déplace, il s'accumule tantôt ici, tantôt là, il tremble; enfin tout se refroidit, et le patient meurt.

FIN DU PREMIER LIVRE DES MALADIES.

ΠΕΡΙ ΠΑΘΩΝ.

DES AFFECTIONS.

ARGUMENT.

Le traité précédent est une sorte de discours sur la médecine, destiné à indiquer au médecin les points et les arguments qui doivent donner l'avantage dans la discussion. Celui-ci est un livre de médecine populaire qui a pour but de mettre l'homme du monde (ἰδιώτης) en état de s'aider lui-même dans ses maladies et de comprendre les règles qui dirigent le médecin. On y remarquera la mention très-fréquente d'un livre intitulé φαρμακῖτις, qui semble avoir été une sorte de formulaire et auquel l'auteur renvoie. Ce livre des Hippocratiques s'est perdu, comme tant d'autres, avant l'établissement des grandes bibliothèques d'Alexandrie et de Pergame.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. = L, 2332 = X, 2148 = Z, Imp. Corn. ap. Mack = K', Imp. Samb. ap. Mack = P', Cod. Fevr. = Q', Cod. Vindobonensis n° IV = θ.

ÉDITIONS ET TRADUCTIONS.

Ce livre a été publié sous le nom de Polybe par Albinus Torinus, Basil. 1544, in-4°.—Joh. Varandaeus a publié des commentaires sur ce livre, Lugd. 1[illegible]8, in-fol.

ΠΕΡΙ ΠΑΘΩΝ[1].

1. Ἄνδρα χρὴ, [2]ὅστις ἐστὶ συνετὸς, λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι· ἐπίστασθαι δὲ τὰ [3]ὑπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα πρὸς τὸ σῶμα τὸ [4]ἑωυτοῦ καὶ διαγινώσκειν· ἐπίστασθαι δὲ τούτων ἕκαστα, [5]ἐς ὅσον εἰκὸς ἰδιώτην. Ταῦτ' οὖν ἐπίσταιτο ἄν τις μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων [6]τάδε· [7]νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα ὑπὸ χολῆς καὶ φλέγματος· ἡ δὲ χολὴ [8]καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι [9]ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. Πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ καὶ ἀπὸ σιτίων καὶ [10]ποτῶν, καὶ ἀπὸ πόνων καὶ [11]τρωμάτων, καὶ [12]ἀπὸ ὀσμῆς καὶ ἀκοῆς καὶ ὄψιος καὶ λαγνείης, καὶ ἀπὸ τοῦ [13]θερμοῦ τε καὶ ψυχροῦ· πάσχει δὲ, ὅταν τούτων ἕκαστα τῶν εἰρημένων [14]ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται [15]τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα, ἢ πλείω τε καὶ ἰσχυρότερα, ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. Τὰ μὲν οὖν [16]νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τουτέων. Δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα [17]εἰκὸς γινώσκειν [18]ἰδιώτην· ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν, περὶ [19]δὲ τούτων καὶ τῶν λεγομένων καὶ τῶν ποιευμένων οἷόν [20]τε εἶναι τὸν ἰδιώτην γνώμῃ τινὶ [21]ξυμβάλλεσθαι. Ἤδη οὖν τούτων ὁπόθεν ἕκαστα δεῖ τὸν ἰδιώτην ἐπίστασθαι, ἐγὼ φράσω.

[1] Τοῦτο δὲ ὁ Γαληνὸς τοῦ Πολύβου λέγει εἶναι FG. — [2] ὅς FG, Ald. - αὐτοῖσι pro ἀνθρ. H. - ἡ (H, al. manu) θ, Mack. - ἡ om. vulg. - νούσοισιν H, Lind., Mack, Kühn. - νούσησιν vulg. — [3] ὑπὸ (H, al. manu) θ. - ἀπὸ vulg. — [4] ἑαυτοῦ sine τὸ θ. — [5] ἐς θ. - ἐς om. vulg. - εἰδιωτην (sic) θ. - ἐπίσταιτο EH, Mack, Kühn. - ἐπίστατο vulg. - ἠπίστατο Lind. — [6] τὰ δὲ νοσήματα θ. — [7] νοσ. EHθ. - Addit δὲ ante τοῖσιν alia manu H. - ἅπαντα γίν. EHθ. - ἀπὸ Lind. — [8] καὶ om. J. - νόσους H. — [9] ἢ om. θ. - ὑπερυγρ. ἢ ὑπερξηρ. θ. - ἢ ὑπερυγρ. om. GJK. — [10] ἀπὸ ποτῶν vulg. - ἀπὸ om. EHθ, Lind., Mack. — [11] ἀπὸ τρ. vulg. - ἀπὸ om. EHθ, Lind., Mack. — [12] ἀπὸ θ, Mack. - ἀπὸ om. vulg. - λαγνίης θ. — [13] θερμοῦ τε καὶ ψ. EHθ, Mack. - θερμοῦ (θερείου FGIJ K) καὶ ἀπὸ (ἀπὸ om. Lind.) τοῦ ψ. vulg. — [14] εἰ θ. - ἢ.... σώματι om. Kühn. — [15] τῷ om. P', Lind. — [16] νοσ. ubique EHθ. - τουτέων E. - τούτων vulg. —

DES AFFECTIONS.

1. (*Utilité pour l'homme du monde d'avoir quelques notions médicales, et indication de ces notions. Toutes les maladies proviennent du phlegme et de la bile.*) Quiconque est sensé doit, réfléchissant que pour les hommes la santé est du plus haut prix, savoir se secourir dans les maladies par son propre jugement, savoir même discerner ce que les médecins lui disent et lui administrent, et savoir tout cela dans la mesure qu'il convient à un homme du monde. C'est à quoi on réussira en prenant surtout connaissance des points suivants et en s'y appliquant. Les maladies proviennent toutes, chez les hommes, de la bile et du phlegme. La bile et le phlegme produisent les maladies, quand, dans le corps, l'une de ces humeurs éprouve un excès ou de sec ou d'humide, ou de chaud ou de froid; or, un tel excès dans le phlegme et la bile provient des aliments et des boissons, des fatigues et des blessures, de l'odorat, de l'ouïe, de la vue, du coït, ainsi que du chaud et du froid; cet excès est déterminé quand chacune des influences susdites est administrée au corps ou comme il ne convient pas, ou contre l'habitude, ou en plus et trop forte, ou en moins et trop faible. Ainsi c'est de là que pour les hommes naissent toutes les maladies. Il importe que là-dessus l'homme du monde sache ce que doit savoir l'homme du monde; quant aux prescriptions et aux opérations qui sont du domaine des hommes de l'art, il importe aussi que l'homme du monde soit en état de concourir par son propre jugement à ce que le médecin dit et fait. Je vais donc indiquer où l'homme du monde doit puiser ses notions sur chacun de ces objets.

[17] εἰκὸς om. Ald.-γιν. om., restit. al. manu H. — [18] ἰδιωηι (sic), et ὅσα.... ἐπίστασθαι om. θ.-διαχειρίζεσθαι G. — [19] δὲ est pour δή.-καὶ EFHIJθ, Lind., Mack.-καὶ om. vulg.-ποιουμένων θ. — [20] τ' θ.-ἐστι pro εἶναι K', Mack. — [21] σ. θ.-τούτων om. θ.-ὁκόθεν Mack.-τὸν ἰδιώτην θ.-τὸν ἰδ. om. vulg.

2. [1] Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτου τὴν κεφαλὴν [2] ξυμφέρει διαθερμαίνειν λούοντα πολλῷ θερμῷ, καὶ πταρμὸν [3] ποιέοντα φλέγμα καὶ μύξας ὑπεξάγειν· [4] καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα· ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγμα, [5] διαιτᾷν δὲ ῥοφήματι καὶ ποτῷ ὕδατι, οἶνον δὲ μὴ προσφέρειν, ἔστ' ἂν ἡ περιωδυνίη [6] παύσηται· τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσῃ, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. Τὰ δὲ ἀλγήματα ἐσπίπτει [7] ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ· ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ [8] σκοτοδινίη ἐμπίπτῃ ἐς τὴν κεφαλήν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα· ὠφελέει δέ, [9] καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ· ἢν δὲ [10] πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νούσημα ἐν τῇ κεφαλῇ γίνηται, καὶ μὴ ἀπαλλάσσηται, καθαρθείσης τῆς κεφαλῆς, ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλήν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι· [11] τῶν γὰρ λοιπῶν ἀπὸ τούτων μοῦνον ἐλπὶς ὑγιέα γενέσθαι.

3. Τοὺς νοσέοντας [12] χρὴ σκοπεῖν εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, [13] ὅτου ἂν δέωνται, καὶ οἵους τε ὄντας [14] φαρμακευθῆναι, καὶ ἄλλο ὅπερ ἄν τις θέλῃ προσενέγκαι· ἢν δέ, τὴν ἀρχὴν παρείς, τελευτώσης τῆς [15] νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ [16] σώματι, εἰ δεῖ ἕν ἰσχυρόν τι προσενέγκαι, κίνδυνος ἁμαρτάνειν μᾶλλον ἢ [17] ἐπιτυγχάνειν.

4. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν [18] ξυμφέρει πολλῷ θερμῷ, [19] καὶ πυριῆν τὰ ὦτα· καὶ [20] ἢν μὲν πρὸς ταῦτα περιίστηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπῃ, ἀρκέει

[1] Ἂν E. — [2] σ. θ. – καὶ θερμῷ vulg. – καὶ om. K. — [3] ποιεῦντα θ. – ὑπεξάγειν (H, al. manu) θ. – ὑπάγειν vulg. — [4] καὶ om. EFGHIJK. — [5] δίαιταν θ. – ῥυφ. (ubique) EGHIJK, Ald. – ἔσταν μὴ ἡ περιωδύνη θ. — [6] πραΰνεσθαι, forsan πραΰνεται aut πραΰνηται L. – πραΰνηται Lind. – σπάσῃ EFGHIJKθ. – σπάσει vulg. – περιωδύνη θ. – ἰσχυροτέρα, al. manu η H. — [7] ἀπὸ F. – τοῦ om. EFHJKθ, Lind. – κεινηθὲν θ. — [8] σκοτοδίνει ἢι ἐμπίπτῃ θ. – ἐμπίπτῃ E. – ἐμπίπτει vulg. — [9] κην (sic) θ. — [10] πολυχρ. EHIJθ. – γίνεται J. — [11] τὸ γὰρ λοιπὸν [καὶ] ἀπὸ Lind. – μόνων EHθ. – μούνων J. – ὑγιαῖα θ. — [12] [δὲ] χρὴ Lind. – εἰ εὐθὺς EGHK, Ald. — [13] ὅπου G. — [14] καὶ φαρμ. θ. – ὅ τι (al. manu ὅ περ H) θ. – ἐθέλῃ H. – παρῇς E. — [15] νόσου IJK. – προσφ. om., alia manu προσφέρεις E. — [16] σώματι δεδιὼς (δέδιεν EFGIJK, Ald.; δέδειεν H) ἰσχυρόν τι (ἰσχύοντι, E al. manu ἰσχυρόν τι, FGHIJK, Ald.) (σώματι δὲ διενισχύοντι θ) vulg. – Je lis εἰ δεῖ ἓν au lieu de δέδιεν ou δέδειεν des mss. — [17] ἀπ. IJ. — [18] σ. θ.

2. (*Maladies de la tête. Douleurs de tête.*) Si des douleurs se jettent sur la tête, il importe d'échauffer la tête du patient avec des affusions abondantes et chaudes, et de provoquer l'issue du phlegme et de la mucosité en déterminant l'éternuement; si, à l'aide de ces moyens, la douleur cesse, cela suffit; sinon, purger la tête du phlegme, alimenter avec des potages et de l'eau, et interdire le vin jusqu'à ce que le mal de tête ait cessé. En effet, quand la tête étant chaude attire le vin à elle, la douleur devient plus forte. Les douleurs surgissent par le phlegme quand, mis en mouvement, il s'est accumulé dans la tête. Si la douleur et le vertige saisissent la tête par intervalle, il est utile, à la vérité, de faire ce qui a été dit plus haut, mais il est utile aussi de tirer du sang des narines ou de la veine frontale. La maladie devient-elle, dans la tête, longue et durable, sans céder aux purgations de cette partie, il faut inciser la tête du patient ou brûler circulairement les veines; car, de tous les autres, ce moyen est le seul qui donne espérance de guérison. (*Un moyen analogue a été proposé,* Bull. de l'Acad. de médec., t. XIII, p. 1027, 1848.)

3. (*Agir au début.*) C'est au début, quand la maladie commence à prendre de la consistance, alors que les malades sont en état d'être évacués et de recevoir tout ce qu'on voudra administrer, qu'il importe d'examiner de quoi ils ont besoin; mais si, laissant passer le début, vous prescrivez vers la fin de la maladie, il est à craindre, dans le cas où il faudrait prescrire quelque moyen énergique, que, le corps étant déjà affaibli, il n'y ait plutôt insuccès que succès.

4. (*Affection des oreilles, de la gorge, des gencives, de la luette, des dents.*) Si la douleur se porte aux oreilles, il convient de faire des affusions chaudes abondantes et de fomenter la partie; le phlegme atténué à l'aide de ces moyens se détourne-t-il de la tête, et la douleur s'apaise-t-elle, cela suffit;

-καὶ θερμῷ vulg. -καὶ om., restit. al. manu H. — [19] καὶ om. θ. -πυριᾶν θ. — [20] εἰ J. -πρὸς τ. om. (E, restit. al. manu post περιίστ.) FG (H, restit. al. manu) JK. -ἀπολείπη Codd., Lind., Mack. -ἀπολείπει vulg. -ἀρκεῖ θ.

ταῦτα· [1]ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον φάρμαχον πῖσαι ἄνω, ὅ τι φλέγμα χαθαίρει, ἢ τὴν χεφαλὴν χαθῆραι, [2]ᾧ χαθαίρεται τὸ τῆς χεφαλῆς φλέγμα· τὸ δὲ ἄλγημα χαὶ [3]τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀχοὴν φλέγμα [4]ἐχ τῆς χεφαλῆς προσπέσῃ. [5]Ἢν δὲ [5]τὰ παρὰ τὴν φάρυγγα φλεγμήνῃ, ἀναγαργαρίζειν χρή· γίνεται δὲ χαὶ ταῦτα ἀπὸ φλέγματος· ἢν δὲ τὰ οὖλα ἤ [6]τι τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμαίνῃ, διαμασσητοῖσι χρῆσθαι· ἀπὸ φλέγματος δὲ χαὶ [7]ταῦτα γίνεται. [6]Ἢν δὲ ἡ σταφυλὴ χαταχρεμασθῇ χαὶ πνίγῃ, ἔνιοι δὲ τοῦτο χαλέουσι γαργαρεῶνα, παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίχτοισι χρῆσθαι, σχευάζων ὡς γέγραπται ἐν τοῖσι φαρμάχοισιν· ἢν δὲ πρὸς ταῦτα [8]μὴ ἰσχνὴ γένηται, ὄπισθεν ξυρήσαντα τὴν χεφαλὴν, σιχύας προσβάλλειν δύο, χαὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, χαὶ [9]ἀνασπάσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος· ἢν δὲ [10]μηδὲ τούτοισι χαθίστηται, σχάσαντα μαχαιρίῳ τὸ ὕδωρ [11]ἐξαγαγεῖν, σχάζειν δὲ, ὅταν τὸ ἄχρον ὑπέρυθρον γένηται· ἢν δὲ μὴ τοιοῦτον [12]γενόμενον τμηθῇ, φλεγμαίνειν ἐθέλει, χαὶ ἔστιν ὅτε [13]ἐξάπινον ἔπνιξε· γίνεται δὲ [14]χαὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐχ τῆς χεφαλῆς θαλφθείσης ἀθρόον χαταῤῥυῇ. [7]Ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ χαὶ [15]χινέηται, ἐξαιρέειν· ἢν δὲ μὴ βέβρωται, [16]μηδὲ χινέηται, ὀδύνην δὲ παρέχῃ, χαύσαντα ἀποξηρῆναι· ὠφελέει δὲ χαὶ τὰ διαμασσήματα· αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων· ἐσθίονται δὲ [17]χαὶ βιβρώσχονται οἱ μὲν ὑπὸ φλέγματος, οἱ δὲ ὑπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι, χαὶ χοιλίην ἔχοντες, χαὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι χαχῶς.

[1] Εἰ ΕΗθ. – φάρμαχον EFIJKθ, Lind., Mack. – φαρμάχων vulg. – πεῖσαι θ. – ὅτι ἄνω Lind. – ἄγει pro χαθαίρει θ. — [2] ᾧ χ. τὸ τ. χεφ. om. θ. – τὸ om. (E, restit. al. manu) GJK. — [3] χαὶ [διὰ] τ. Lind. — [4] ἀπὸ θ. — [5] τὰ om. J. – φάρυγα IJ. – ἢν φλεγμήνη τὰ περὶ τὴν φάρ. E. – φλεγμαίνῃ θ. – ἀναγαργαλίχτοισι (ἀναγαργαρίστοισι H; ἀναγαργαρίστοις θ) χρῆσθαι, sine χρὴ ΕΗθ. — [6] τι post γλ. ΕΗθ. – τὴν γλῶσσαν θ. – φλεγμήνη E. – διαμασητοῖσι GHIJK, Ald. – διαμάση τοῖσι (sic) θ. — [7] αὐτὰ K. – γίνονται IJ. – πνιγῇ θ. – χαλοῦσι θ. – ἀναγαργαριστοῖσι (sic) θ. – φαρμάχοις θ. — [8] ἰσχνὴ μὴ γίνηται θ. – ξυρίσαντα θ. – προβάλλειν IJK. — [9] ἀνασπάσαι Kühn. – ἀνασπᾶσαι vulg. — [10] μηδὲ EFGHIJ, Frob. – μὴ vulg. — [11] ἐξιέναι EHQ'θ. – σχίζειν FJK. – δ' θ. – γένηται ΕΗθ. – γίν. vulg. — [12] γεν. om. (H, restit. al. manu) θ. – ἐθέλει EFGIJKθ. – θέλει vulg. — [13] ἄπνοον, supra lineam eadem manu ἐξαίφνης H. – ἄπνουν (sic) pro ἐξ. θ. — [14] χαὶ om. θ. – ἀπὸ Lind. – θαλφθείσης Codd., Ald., Foes Chouet,

sinon, le meilleur des autres remèdes est de donner un vomitif phlegmagogue ou de purger la tête avec un des médicaments par lesquels le phlegme de la tête est purgé. Cette douleur aussi se développe quand du phlegme se jette du dedans de la tête sur l'ouïe. Si les parties d'entour la gorge s'enflamment, il faut gargariser; cela provient encore du phlegme. Si les gencives ou quelqu'une des parties sublinguales s'enflamment, employez les masticatoires; c'est encore le phlegme qui est en cause. Si la luette devient pendante et suffoque, ce que quelques-uns appellent gargareon, aussitôt on mettra en usage les gargarismes préparés comme il est écrit dans les Remèdes; au cas où cela ne procure pas l'atténuation de la luette, on rasera le derrière de la tête, on y appliquera deux ventouses, on tirera autant de sang qu'il sera possible, et on appellera en arrière la fluxion pituiteuse. Ces moyens même sont-ils insuffisants, on incise la luette avec un bistouri, et on en fait sortir l'eau; cette incision sera faite quand l'extrémité en est devenue un peu rouge; si on incise avant que cette extrémité soit devenue telle, la luette est exposée à s'enflammer, et il est des cas où elle a causé une suffocation soudaine. Le phlegme produit encore cette affection, c'est lorsqu'il descend en abondance de la tête échauffée. Quant aux douleurs causées par les dents, si la dent est cariée et branlante, il faut l'ôter; si, sans être ni cariée ni branlante, elle excite cependant de la douleur, il faut la dessécher en la brûlant; les masticatoires servent aussi; les douleurs se font sentir quand du phlegme va sous les racines des dents. Les dents sont rongées et cariées, les unes par le phlegme, les autres par les aliments, quand naturellement elles sont faibles, creuses et mal fixées dans les gencives.

Lind., Mack. -θαλφείσης vulg. -ὅτ' ἂν ἐκ τ. κ. θαλφθίσης ὅτ' ἂν ἀθρόον κατ. θ. — [15] κινέηται EHθ. -κινέεται vulg. -ἐξερέειν θ. — [16] ἢ μηδὲ GIK. -ἢ μὴ E (H, cum δὲ al. manu) θ. -παρέχῃ θ, Kühn. -παρέχει vulg. -διαμασήματα GIJK, Ald. -διασήματα, al. manu μα H. — [17] καὶ βιβρ. om. (H, restit. al. manu) θ. -ὑπὸ (bis) EHQ'θ. -ἀπὸ (bis) vulg. -σίτων θ. -ἀσθενεῖς θ. -ἐῶσι JKθ, Ald.

5. Ἢν δὲ [1]ἐν τῇ ῥινὶ πόλυπος γένηται, οἷον [2]πρῆγμα πνέεται, καὶ ἀπογχέει ἐκ τοῦ μυκτῆρος ἐς τὸ πλάγιον· ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ στόμα [3]ἐκ τῆς ῥινός· οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται· φύεται δὲ [4]ὑπὸ φλέγματος. Ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς [5]φύεται νουσήματα, πλὴν ὀφθαλμῶν· ταῦτα δὲ [6]ἰδίως γεγράψεται.

6. Περὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων ἐνθυμέεσθαι χρὴ τάδε· πλευρῖτις, [7]περιπλευμονίη, καῦσος, φρενῖτις, αὗται καλέονται ὀξεῖαι, [8]καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρόταται τοῦ χειμῶνος, γίνονται δὲ καὶ τοῦ θέρεος, ἧσσον δὲ καὶ μαλακώτεραι· ἢν δὲ παρατυγχάνῃς, [9]ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνοις μάλιστα.

7. Πλευρῖτις· πυρετὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη, καὶ ὀρθοπνοίη, καὶ βήξ· καὶ τὸ σίελον κατ' ἀρχὰς μὲν ὑπόχολον πτύει, ἐπειδὰν δὲ πεμπταῖος γένηται [10]ἢ ἑκταῖος, καὶ ὑπόπυον. Τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ τό τε φλέγμα καὶ τὴν χολήν· ἡ γὰρ ὀδύνη οὕτως ἂν εἴη μαλακωτάτη· τὴν δὲ κοιλίην [11]θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι· οὕτω γὰρ τῇ νούσῳ τῇ [12]ξυμπάσῃ [13]ξυμφορώτατα· προσφέρειν δὲ ποτόν τε καὶ [14]ῥόφημα, καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίελον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ· ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα [15]ξυμφέρει τὸ πλευρὸν ἔξωθεν πεπαίνειν τὰ πρὸς [16]τὸ πλευρόν· πρόσθεν δὲ οὐ ξυμφέρει· ξηραίνεται γάρ. Γίνεται δὲ ἡ νοῦσος αὕτη μάλιστα μὲν ἐκ ποσίων, ὅταν τις, ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων ἢ νήφων ῥιγώσῃ· γίνεται δὲ καὶ ἄλλως. Κρίνεται δὲ ἡ [17]νοῦσος, ἡ μὲν

[1] Ἐν om. E. – πώλυπος θ, Lind. – γένηται θ. – ἐγγένηται vulg. — [2] πρήγμα (sic) θ. – πρῆσμα Foes in not., Lind., Mack. – Foes, pour lire πρῆσμα, s'appuie sur Gal. Gloss. : πρῆσμα, ἐμφύσημα, καὶ πρήσιος, τῆς ἐμφυσήσεως, καὶ πρηστικώτατον, τὸ ἐμφυσητικώτατον. Cette glose ne paraît pas se rapporter à notre passage; d'ailleurs tous les mss. ont uniformément πρῆγμα. Foes traduit : Velut quiddam flatu distentum. – πνίγεται θ. – τείνεται Foes in not., Lind. – τε καὶ vulg. – τε, qui est nuisible, vient sans doute par répétition de la finale ται. – ἐς EHθ, Lind. – εἰς vulg. — [3] διὰ pro ἐκ J. – φαρμάκοις θ. — [4] ἀπὸ Lind. — [5] φύεται (H, al. manu ον) θ. – φύονται vulg. – ὀφθαλμίας K. — [6] χωρὶς E (H, al. manu ἰδίως) θ. — [7] περιπλ. Hθ. – περιπν. vulg. – καλεῦνται θ. — [8] καὶ om. K. – μὲν om. FGIJK. — [9] τάδε EHθ. – ποιῶν θ. – συμβ. EHJKθ. – τυγχάνοις FGIJKθ. – τυγχάνῃς vulg. – σίελον θ. – σίαλον vulg. — [10] καὶ GIJK. – ἀποστήσῃ EH. — [11] ὑπάγειν θεραπεύοντα καὶ ψύχοντα κλύσματι θ. – ὑπάγοντα καὶ ψύχοντα HIJK. — [12] σ. θ. — [13] συμφ. (ξ. Lind.) vulg. – ξυμφερώτατα H. – συμφερώτατα EIJK, Ald., Frob. — [14] ῥύφ.

5. (*Polype du nez.*) Si un polype s'engendre dans le nez, c'est une affaire de respirer, et la narine fait une saillie de côté. On l'extirpe en le tirant hors du nez dans la bouche avec un lien; il en est encore que l'on consume à l'aide de médicaments. Le polype est le produit du phlegme. Telles sont les maladies qui proviennent de la tête, excepté les maladies des yeux; celles-là seront traitées à part.

6. (*Maladies du ventre, c'est-à-dire de la poitrine et de l'abdomen.*) Quant aux maladies du ventre (*poitrine et abdomen*), il faut se recorder ceci : la pleurésie, la péripneumonie, le causus, la phrénitis sont dites maladies aiguës; elles surviennent le plus souvent et avec le plus d'intensité en hiver; elles surviennent aussi en été, mais moins et avec moins de force; si vous vous trouvez présent, vous serez le plus utile en agissant et en conseillant comme il suit.

7. (*Pleurésie.*) Pleurésie : il y a fièvre, douleur de côté, orthopnée, toux; la salive est d'abord crachée subbilieuse, puis, le cinquième jour ou le sixième, subpurulente. En ce cas, pour la douleur de côté, on donnera ce qui détournera du côté le phlegme et la bile; car, de cette façon, la douleur sera très-adoucie; on soignera le ventre à l'aide d'un clystère évacuant et rafraîchissant; c'est une précaution qui importe beaucoup à la maladie tout entière. On donnera des boissons et des potages; les boissons seront acidulées de manière à débarrasser de la matière de l'expectoration le côté; quand l'expectoration commence à devenir purulente, il convient d'échauffer le côté par le dehors, et de mûrir ce qui y adhère; avant, ces moyens ne conviennent pas, car ils dessèchent. Cette maladie provient surtout de boissons, quand, le corps étant ainsi humecté, l'individu, soit ivre, soit à jeun, est pris de frisson; elle survient aussi d'autre façon. Cette maladie se juge, la plus

(ubique) EHθ. – πώματα διδ. δὲ ὀξύτερον θ. – σίελον (H, al. manu) θ. – σίαλον vulg. — [15] σ. θ. — [16] τῷ πλευρῷ EHθ. – ποσίων EHQ'θ, Mack. – πόσιων Lind. – πόσιο; vulg. — [17] νόσος K.

βραχυτάτη ἑβδόμῃ, ἡ δὲ μακροτάτη τετάρτῃ καὶ δεκάτῃ· [1]καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται· ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται, καὶ ἡ νοῦσος μακρή.

8. Κρίνεσθαι [2]δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνωνται, ἢ μεταπίπτωσιν [3]ἐς ἕτερον νούσημα, ἢ τελευτῶσιν.

9. Περιπλευμονίη· πυρετὸς ἴσχει καὶ βήξ· καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον φλέγμα παχὺ καὶ καθαρὸν, [4]ἕκτῃ δὲ καὶ ἑβδόμῃ ὑπόχολον καὶ ὑποπέλιον, ὀγδόῃ δὲ καὶ ἐνάτῃ ὑπόπυον. Τούτῳ ἢν μὲν ὀδύνη ἐγγίνηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅπερ ἐν τῇ πλευρίτιδι τοῦ πλευροῦ τῆς ὀδύνης ἐν τῇ φαρμακίτιδι γέγραπται· [5]ποτοῖσι δὲ [6]καὶ ῥοφήμασι καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν [7]κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι· ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ [8]πλεύμονος ἀνακαθαρεῖται καὶ τὸ πῦον, διδόναι φάρμακα ποτὰ, οἷσιν ὁ πλεύμων ὑγραίνεται, καὶ καθαίρεται τὸ πῦον ἄνω. Ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα [9]ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα· ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίσταται ἐς περιπλευμονίην, [10]καὶ ἐκ καύσου· κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη [11]ἐν τεσσαρεσκαίδεκα, ἡ δὲ μακροτάτη ἐν δυοῖν [12]δεούσαιν εἴκοσι· διαφεύγουσι δὲ ταύτην ὀλίγοι· γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κυρίῃσιν ὁ πλεύμων καθαρθῇ.

10. Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια, μᾶλλον [13]δὲ πρὸς τὰ δεξιὰ [14]ἐς τὸ ἧπαρ· ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ [15]αἱ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τοῦ νοῦ [16]παρακοπή. Τούτῳ, τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι, διδό-

[1] Κἢν θ. — [2] δ' ἔστιν EH. - τοῖσι HJ. — [3] εἰς θ. — [4] τῇ ἕκτῃ vulg. - τῇ om. (H, restit. al. manu) θ. - ἐνάτῃ HKθ. - ἐνν. vulg. - ἐγγίνηται EGHIJK. - ἐγγένηται Mack. - ἐγγίνεται vulg. — [5] πότοισι θ. — [6] καὶ om. K. - ὑποχώρησι καὶ ψῦξι (sic) θ. — [7] καὶ pro κατὰ EP'. - καὶ κατὰ Q'. - ὅπως EHθ. — [8] πν. (ubique) GJK. - ἀνακαθαίρηται θ. - ἀνακαθάραι (ἀνακαθᾶραι E) vulg. - ὁ EFGHIJθ, Lind., Mack. - ὁ om. vulg. - ὑγραίνεται ὁ πν. K. - πλ. καθαίρεται καὶ ὑγρ. τὸ πῦον ἄνω θ. — [9] ἀθροῦν θ. - εἰς IJ. - δὲ ὅτε θ. - μεθίσταται EHKθ. - μεθίεται vulg. — [10] καὶ καῦσον vulg. - καὶ ἐκ καύσου EHθ. - δ' H. — [11] ἐν om. Lind. - τέσσαρσι καὶ δέκα E. - τέσσερες καίδεκα (sic) θ. — [12] δεουσαιν (sic) θ. - δεούσαις vulg. - ταύτην om. FGJ. - ἔμπυοι καὶ θ. - νόσου θ. - μὴ om. G. - ταῖσι κυρίαισιν θ. — [13] δ' ἐς pro δὲ πρὸς EH. - δὲ ἐς Q', Lind. — [14] πρὸς EQ'θ, Lind. — [15] αἱ om. EFGJ. — [16] παρακόπτει θ.

courte en sept, la plus longue en quatorze jours, et si, à ce jour, le pus est expectoré et évacué hors du côté, le patient guérit; sinon, il se forme un empyème, et la maladie devient longue.

8. (*Définition de la crise.*) Une crise dans les maladies c'est ou une exacerbation, ou un affaiblissement, ou une métaptose en une autre affection, ou la fin.

9. (*Péripneumonie.*) Péripneumonie : il y a fièvre, toux, expectoration d'abord d'un phlegme épais et pur, puis subbilieuse et sublivide au sixième et au septième jour, subpurulente le huitième et le neuvième. Au patient, si la douleur se fait sentir au dos ou aux côtés, on donnera ce qui est écrit dans la Pharmacie, à l'article de la pleurésie, pour la douleur de côté. En fait de boissons, de potages, d'évacuation et de rafraîchissement du ventre, le traitement sera le même que dans la pleurésie. On administrera, pour procurer l'expectoration des crachats et du pus, les potions médicamenteuses qui humectent le poumon, et évacuent le pus par en haut. Cette maladie survient quand du phlegme découle en abondance de la tête dans le poumon; parfois aussi d'une métastase de pleurésie ou de causus en péripneumonie. Elle se juge, la plus courte en quatorze jours, la plus longue en dix-huit. Peu réchappent de cette maladie. L'empyème peut en être aussi la conséquence, si le poumon ne s'est pas purgé dans les jours décisifs.

10. (*Phrénitis; voy. pour cette fièvre t. II, p. 571. Ici l'auteur paraît décrire la phrénitis d'après son étymologie, de φρένες, diaphragme, et insister particulièrement sur l'affection des hypochondres. Dans le fait, les fièvres rémittentes et pseudo-continues affectent les organes de cette région.*) Phrénitis : il y a une fièvre obscure d'abord, et de la douleur aux hypochondres, plus forte au côté droit vers le foie; mais, quand le patient est au quatrième jour et au cinquième, la fièvre et les douleurs croissent en intensité, la coloration devient subbilieuse, et l'intelligence se dérange. Dans ce cas,

ναι, καὶ χλιαίνειν, [1]ἵν' ἡ ὀδύνη ἔχει· τὴν κοιλίην δὲ θεραπεύειν, καὶ τἄλλα ποιέειν τὰ αὐτὰ, πλὴν τοῦ ποτοῦ· ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν [2]ἐθέλῃς, πλὴν οἴνου, ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι· [3]οἶνος δὲ οὐ ξυμφέρει τοῦ νοῦ παρακόπτοντος, οὔτε ἐν [4]ταύτῃ τῇ νούσῳ, [5]οὔτε ἐν τῇσιν ἄλλῃσι· λούειν δὲ πολλῷ καὶ θερμῷ [6]κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νούσῳ [7]ξυμφέρει· μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρέει, καὶ αὐτὸς ἑαυτοῦ ἐγκρατέστερος γίνεται. Ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ· [8]κρίνεται δὲ ἡ μὲν βραχυτάτη ἑβδομαίη, ἡ δὲ μακροτάτη ἑνδεκαταίη· διαφεύγουσι δὲ καὶ ταύτην ὀλίγοι· μεθίσταται δὲ καὶ [9]αὕτη ἐς περιπλευμονίην, καὶ ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν.

11. Καῦσος [10]δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρή· καὶ ἡ γλῶσσα τρηχέη καὶ μέλαινα γίνεται [11]τοῦ πνεύματος ὑπό γε θερμότητος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τὰ [12]ὑπιόντα χολώδεα, καὶ τὰ μὲν ἔξω ψυχρὸς γίνεται, τὰ [13]δ' ἔσω θερμός. Τούτῳ [14]ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενον μὴ φρίξῃ· καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ [15]καὶ κατ' ὀλίγον ὡς ψυχρότατα, τὴν δὲ κοιλίην θεραπεύειν, [16]κἢν μὲν μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι· ψύχειν [17]δὲ κλύσμασιν ὡς ψυχροτάτοισιν ἢ ὁσημέραι ἢ διὰ τρίτης. Ἡ δὲ νοῦσος αὕτη γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ· φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι· κρίνεται δὲ ἡ μὲν βραχυτάτη

[1] Ἦν pro ἵν' ἡ EHθ. – ἔχῃ vulg. – ποιεῖν J. – π. om. Hθ. – τοῖσιν αὐτοῖσιν pro τὰ αὐτὰ (E, cum ποιέειν post αὐτοῖσι) Q'θ, Lind. – αὐτοῦ pro αὐτὰ J. — [2]ἐθέλῃ, al. manu ῃς H. – θελήσῃ θ. – πλὴν οἴνου ponitur post χρῆσθαι EHθ. – ἢ om. θ. – καὶ ὕδωρ om. K. – διδόναι om. (E, habet δίδου, quod ponitur post ἐθέλῃς) H. – Post διδ. addunt ἢ ὕδωρ JKθ. — [3]οἶνον FGJK. – συμφ. θ. – παρακόπτοντος (H, al. manu) θ. – παρακοπέντος vulg. – οὔτ' (bis) θ. — [4]αὐτῇ EHKQ', Lind. – τῶν πυρετῶν pro τῇ ν. FGIJ. – Post νούσῳ addunt τῶν πυρετῶν EKQ', Lind. — [5]Post οὔτε addit al. manu τῶν πυρετῶν H. – τῇσιν EH Q'θ, Lind., Mack. – ἑτέρῃσιν pro τῇσιν vulg. – ἄλλῃσι om. K. — [6]καὶ κατὰ vulg. – καὶ om. EHQ'θ. – Ante κατὰ addit τὰ K. – τῆς κεφαλῆς EHQ' (θ, sine τῆς), Lind., Mack. — [7]σ. θ. – κοιλία θ. – διαχωρεῖ θ. – αὐτοῦ EGHIJKθ. — [8]ἡ δὲ νοῦσος (ἡ δὲ ν. om., H restit. al. manu, θ) κρ. (addit δὲ θ) vulg. – ταχυτάτη E. – ἑβδομαία G. – ἑβδομαῖα IJK. – ἑβδόμῃ θ. – ἑνδεκάτη Eθ. – δεκαταίη K. — [9]αὐτὴ θ. – διέφυγον θ. — [10]δὲ om. K. – τρηχέη IJKθ. – τρηχείη vulg. – τριχείη Ald. — [11]ὑπὸ θερμότητος τοῦ πν. EHKθ, Lind., Mack. — [12]ὑπιόντα (E,

pour la douleur, on administrera ce qui a été dit à l'article pleurésie, et on fomentera l'endroit douloureux; on aura soin du ventre, et du reste on fera la même chose. Il y a une exception pour la boisson : on emploiera, il est vrai, la boisson que l'on voudra, à condition que le vin sera exclus; on peut encore donner le vinaigre, le miel et l'eau. Le vin ne convient pas quand il y a délire, soit dans cette maladie, soit dans les autres. Il importe, dans cette affection, de faire des affusions chaudes abondantes sur la tête; car, le corps étant assoupli, il y a davantage tendance à la sueur, aux évacuations alvines et urinaires, et au retour de l'intelligence. Cette maladie est produite par la bile, qui, mise en mouvement, se fixe aux viscères et aux parties phréniques. Elle se juge, la plus courte en sept jours, la plus longue en onze. De celle-là aussi peu réchappent. La phrénitis peut également se changer en péripneumonie, et, quand il en est ainsi, il y a peu de chances de salut.

11. (*Causus.*) Causus : la fièvre et la soif sont intenses; la langue devient rude et noire, sans doute à cause de la chaleur du poumon; le corps prend une teinte subbilieuse; les excrétions sont bilieuses; le patient est froid en dehors, chaud en dedans. Il importe d'administrer des rafraîchissants à l'intérieur et à l'extérieur, prenant garde de ne pas provoquer de frisson. On donnera les boissons et les potages fréquemment, peu à la fois, aussi froids que possible; on soignera le ventre; s'il n'y a pas de déjections, on prescrira des lavements; les lavements aussi froids que possible seront donnés ou tous les jours ou de deux jours l'un. Cette maladie provient de la bile, qui, mise en mouvement, s'est fixée à l'intérieur du corps. Elle est sujette aussi à se transformer en péripneumonie. Elle

al. manu πτύελα) θ, Lind., Mack. - ὑπεόντα Q'. - πτύαλα (πτύα FIJ) vulg. - χολώδη θ. — [13] δὲ EG, Ald., Frob., Lind. - λίαν (λίην E) θ. - λίαν om. (H, al. manu λίην) θ. — [14] σ. θ. - φυλασσόμενον θ. - φυλασσόμενος vulg. - φρύξη E. - τε om. θ. - πώματα θ. — [15] καὶ om. θ. — [16] ἦν Hθ. - κλῦσαι Hθ. — [17] δὲ EHθ. - τε vulg. - ψυχροτάτοις θ.

[1]ἐνάτῃ, ἡ δὲ μακροτάτη [2]τεσσαρεσκαιδεκάτῃ· καὶ ἢν μὲν [3]μεταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν· ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί· αὗται μὲν οὖν ὀξεῖαι καλέονται, καὶ δεῖ ταύτας οὕτω θεραπεύειν.

12. [4]Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου, εἴτε ἐκ κόπου, εἴτε [5]ἐξ ἄλλου τινὸς, φυλάσσεσθαι χρή· μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους. Ἡ δὲ μετάστασις αὐτῶν τοιαύτη γίνεται· ὅταν, [6]τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ [7]ξυμφέροντα προσφέρηται τῷ σώματι, [8]συστρεφόμενα αὐτὰ πρὸς ἑωυτὰ τό τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος ᾗ ἂν τύχῃ, καὶ γίνεται [9]ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ περιπλευμονίη· φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν τῷ χειμῶνι· ἡ δὲ φυλακὴ [10]ἔστω ἡσυχίη καὶ ἰσχνασίη καὶ τῆς κοιλίης κένωσις· ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ.

13. Τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι, καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης καὶ θεραπείης ἀκριβεστάτης, καὶ ἀπὸ τοῦ θεραπεύοντος κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα, ἀγαθὸν δὲ ὅ τι [11]ἂν οἷός τε ᾖ· καὶ ἢν μὲν, ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ, ὑπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, [12]οὐχὶ τοῦ ἰητροῦ αὕτη ἡ ἁμαρτίη ἐστίν· ἢν δὲ, μὴ θεραπεύοντος ὀρθῶς [13]ἢ μὴ γινώσκοντος, ὑπὸ τῆς νούσου κρατέηται, τοῦ ἰητροῦ.

14. Τοῦ δὲ θέρεος τάδε [14]γίνεται· πυρετὸς ἴσχει ἰσχυρὸς καὶ δίψα, καὶ ἐμέουσιν ἔνιοι χολήν· ἐνίοισι δὲ καὶ κάτω διαχωρέει· τούτοισι [15]δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ τι ἄν σοι δοκέῃ ἐπιτήδειον εἶναι· ἢν

[1] Ἐνάτη E. – ἐνν. vulg. – Post ἐν. addit ἡ δεκάτη vulg. – ἡ δεκ. om. θ, Mack. — [2] ἐν τ. FGIK. — [3] μεταστῇ EHIJKθ, Mack. – καταστῇ vulg. – πουλλοὶ F, Frob. – πουλοὶ G, Ald. — [4] ὁπ. EH. – ὅσοι θ. – τοῦ om., restit. al. manu H. – εἴτ' (ter) EH. — [5] ἐξ om. θ. – μεθίσταται EFGHIJθ. – νόσους IK. — [6] τῶν om. EHQ', Lind. – τῶν δύο om. θ. – τοῦ et τῆς om. EHθ. – τε om. K. — [7] σ. EHθ. – προσφέρη θ. — [8] ξ. [δὲ] αὐτὰ Lind. – πρὸς ἑαυτὰ θ. – ᾗ EHP'Q' (ἢ θ), Lind. – ὅπου vulg. — [9] ἢ IKJθ, Lind., Mack. – ἡ vulg. – τῷ Hθ, Mack. – τῷ om. vulg. — [10] αὐτῶν ἔστω vulg. – αὐτῶν om. (H, restit. al. manu) θ. – ποτήμασι E (H, πόμασι in marg.) Kθ. — [11] οἷός τε ἂν ᾖ θ. – μεγάθεος Mack. – Mack dit que dans θ il y a μεγάθεος; ma collation de ce ms. porte μεγέθους. — [12] οὐχὶ καὶ (καὶ om. θ) τ. ἰη. α. ἡ ἁμαρτίη ἐστὶν EHK (ἁμαρτία I; αἰτία J). – οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰη. ἐστὶν vulg. – ἐὰν θ. — [13] ἢ μὴ θ. – μηδὲ vulg. – νούσου H. – νόσου vulg. – κρατεῖται θ. – κρατέεται J. — [14] γίνεται

se juge, la plus courte en neuf jours, la plus longue en quatorze. S'il y a métastase en péripneumonie, peu réchappent; sinon, beaucoup réchappent. Telles sont les maladies nommées aiguës, et tel en doit être le traitement.

12. (*Fièvres d'hiver.*) Quant aux autres fièvres qui surviennent en hiver, soit par le vin, soit par la fatigue, soit par toute autre cause, il faut y prendre garde, car elles se changent parfois aux maladies aiguës. Cette métastase se fait ainsi : quand, les deux humeurs, phlegme et bile, étant mises en mouvement, ce qui convient n'est pas administré au corps, ces deux humeurs, phlegme et bile, se condensant l'une avec l'autre, se jettent sur telle ou telle partie, selon la chance, et il survient ou une pleurésie, ou une phrénitis, ou une péripneumonie. Il faut donc se précautionner contre ces fièvres d'hiver, et la précaution sera le repos, l'atténuation du corps et l'évacuation du ventre; on tiendra le malade au régime des potages et des boissons jusqu'à ce que la fièvre diminue.

13. (*Gravité des maladies aiguës; responsabilité du médecin.*) Des maladies, les aiguës sont, on peut le dire, celles qui emportent le plus de monde, qui causent le plus de souffrance, et qui réclament le plus de précaution et le traitement le plus exact (Aph. I, 6). Celui qui traite ne doit ajouter de son fait aucun mal à la maladie, qui en a bien assez par elle-même, et doit y apporter tout le bien qu'il lui est possible. Si, le médecin traitant bien, le malade est vaincu par la force de la maladie, la faute n'en est pas au médecin; mais si, le médecin ne traitant pas bien ou méconnaissant le mal, le patient est vaincu par la maladie, la faute en est au médecin.

14. (*Fièvre d'été ou fièvre causode.*) En été, il survient ceci : la fièvre et la soif sont intenses; quelques-uns vomissent de la bile, quelques-uns même en rendent par le bas. A ces patients vous donnerez en boisson et en potage ce qui vous paraîtra con-

P'θ. - γίνονται vulg. - δῖψα H. - καὶ ἔν. ἐμοῦσι χολὴν θ. — [13] δὲ om. θ. - ῥοφῆν Frob. - ῥυφῆν Ald. - ῥυφᾶν EFGIJK. - καὶ ῥ. ponunt post εἶναι Hθ.

δὲ [1] προσίστηται πρὸς τὴν καρδίην χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν [2] ἢ μελίκρητον, ἐμούντων· ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι ἢ βαλάνῳ. Ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς· ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι ἢ [3] ἐναταῖοι. Ἢν δὲ τοῦ πυρετοῦ ἔχοντος μὴ καθαίρωνται μήτε κάτω μήτε ἄνω, πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν [4] ᾖ τριταῖος ἢ τεταρταῖος, φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι· [5] ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου ἢ ἀλήτου, καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν· πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς. Ἢν δὲ τὰ μὲν ἔξω [6] μὴ πυρώδης ᾖ σφόδρα, τὰ δ' ἔσω, καὶ ἡ γλῶσσα τρηχέη καὶ μέλαινα γίνηται, καὶ οἱ πόδες καὶ αἱ χεῖρες ἄκραι ψυχραί, τούτῳ φάρμακον μὲν μὴ διδόναι, θεραπεύειν δὲ προσφέρων ψύγματα καὶ πρὸς τὴν κοιλίην καὶ πρὸς τὸ ἄλλο σῶμα. Καλέεται δὲ [7] καυσώδης ὁ πυρετὸς οὗτος· κρίνεται δὲ μάλιστα [8] δεκαταῖος, καὶ ἑνδεκαταῖος, καὶ τεσσαρεσκαιδεκαταῖος. Ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ [9] μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον, ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ, [10] ῥοφήμασι καὶ πόμασι θεραπεύειν· ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία· καθῆραι [11] δὲ ὡς τάχιστα φαρμάκῳ, ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι, ἤν τε κάτω.

15. Ἢν δὲ πυρετὸς [12] μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται, καὶ ἀσιτέῃ, φάρμακον διδόναι· πάσχει δὲ ταῦτα ὑπὸ χολῆς, ὅταν ἐς τὰς φλέβας καὶ τὰ ἄρθρα καταστηρίξῃ. [13] Ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ τὴν κοιλίην γίνονται, [14] ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων, ὅσον

[1] Προσίεται περὶ J. – καρδίην EHKθ, Mack. – καρδίαν vulg. — [2] καὶ F. – μηλίκρητον ἐμούντων θ. – ἐμέειν vulg. – ὑποχωρέει F. – βαλανίῳ θ. — [3] ἐνατ. H. – ἐνν. vulg. – μήτε ἄνω μήτε κάτω EH. — [4] ᾖ HKθ, Mack. – ἡ vulg. – πώματι (per ω ubique) θ. — [5] ἀπὸ δὲ κέγ. ποι. ἢ τοῦ ἀλ. ῥύφ. EHθ. – τοῖς αὐτοῖς θ. – J'ai admis ailleurs, t. II, p. 273, avec M. Dierbach (die Arzneimittel des Hipp., p. 18), que le cenchros était *l'holcus sorghum* L.; mais M. Fraas, Synopsis plantarum Floræ classicæ, p. 310, y reconnaît le *panicum miliaceum;* et comme c'est sur les lieux mêmes qu'il a fait ses recherches botaniques, j'ai du penchant à le suivre. — [6] μὴ om. K. – τρηχείη Lind., Mack. – τρηχεία θ. – γίνηται EHθ. – γίνεται vulg. — [7] καυσώδης ὁ π. οὗτος EHIJK, Lind. – ὁ π. καυσ. οὗτος vulg. – καλεῖται δὲ καυσώδης· ὁ δὲ π. οὗτος κρίνεται θ. — [8] δεκ. om. Mack. – καὶ ἑνδεκαταῖος (H, al. manu) θ. – καὶ ἑνδ. om. vulg. – Foes propose dans ses notes, d'après Cornarius, de substituer ἑνδεκαταῖος à δεκαταῖος; H et θ donnent les deux. — [9] μεθείη θ. – αὐτὸν βάρος Eθ. — [10] ῥοφήμασι.... ἔχῃ om., restit. al. manu E. – ῥυφήματι

venable. Si la bile ou le phlegme se fixent au cardia, les patients, buvant de l'eau froide ou du mélicrat, vomiront; les évacuations font-elles défaut, on emploiera lavement ou suppositoire. La maladie est produite par la bile. On s'en tire d'ordinaire le septième ou le neuvième jour. Si, la fièvre durant, il n'y a d'évacuation ni en bas ni en haut, mais que tout le corps soit dolent, il faut, au troisième ou au quatrième jour, provoquer des évacuations alvines par un médicament léger ou par des boissons; on fera le potage avec le cenchros (*panicum miliaceum*, L.) (*voy.* note 5) ou le blé, et on traitera le malade avec les mêmes boissons; cela est aussi l'effet de la bile. Si à l'extérieur le malade n'est pas très-fébrile, mais qu'il le soit à l'intérieur, et que la langue soit âpre et noire, les pieds et les mains froides, on ne lui donnera pas de médicament évacuant, mais on le traitera en administrant des rafraîchissants et au dedans et au dehors. Cette fièvre se nomme fièvre causode; elle se juge surtout le dixième jour, le onzième et le quatorzième. Si la fièvre prend et quitte, et que le corps soit pesant, on traitera le malade, tant qu'il aura la fièvre, avec des potages et des boissons; quand il ne l'a plus, on lui donne même des aliments; on lui administrera aussitôt que possible un médicament qui évacue soit par le haut, soit par le bas, suivant le besoin.

15. (*En été, embarras gastrique; douleurs du ventre.*) S'il n'y a pas fièvre, mais que la bouche soit amère, le corps pesant, l'appétit nul, on donnera un médicament évacuant (Aph. IV, 17 et 20); cela provient de la bile, qui s'est fixée dans les veines et les articulations. Quant à toutes les autres douleurs qui, dans l'été, affectent le ventre, pour celles qui affectent les hypochondres et le cardia, vous préparerez trois cotyles (0 litr.

καὶ πόματι J. — [11] δ' ὡς EH. - σοι δοκέῃ θ. — [12] μὲν om., restit. al. manu H. - βαρύνεται K. - βαρύνειται καὶ ἀσιτίῃ θ. - ἐς Hθ, Lind. - εἰς vulg. — [13] όπ. (bis) EH, Ald. - τὴν E (H, al. manu). - τὴν om. vulg. — [14] ὅσαι θ. - μελίκρατον ὑδ. ποιῶν (sic) θ. - χλιερὸν θ. - χλιαρὸν vulg.

τρεῖς κοτύλας, ὄξος παραχέας, δὸς πιεῖν χλιερόν· καὶ ἐπισχὼν ὀλίγον χρόνον, [1]καὶ ξυνθαλφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμείτω· ἢν δὲ [2]ἀπεμέσαντι αὖθις προσιστῆται καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω· ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι, καὶ χλιάσματα προστιθέναι, ἐὰν [3]ἡ ὀδύνη ἔχῃ· πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην· δίδοναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, [4]καὶ τῶν φαρμάκων ἃ γέγραπται τῆς ὀδύνης παύοντα ἐν τῇ φαρμακίτιδι. Ἢν δὲ [5]μεθιστῆται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης, [6]καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ, καὶ πίνειν διδόναι τῆς ὀδύνης εἵνεκα, [7]ἃ ἐν τῇ πλευρίτιδι γέγραπται, ἢ τῶν ἄλλων ὅ τι ἄν σοι δοκέῃ· ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω, σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ· τὰ δὲ τοιαῦτα ἀλγήματα [8]ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται. Ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι· ἢν δὲ μὴ παύηται, φάρμακον δοῦναι κάτω.

16. [9]Ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, [10]ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν· τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ [11]ξυνεστηκότα μὲν ἰσχυρά ἐστι, καὶ κρατέει καθ' ὁκοῖον ἂν τοῦ σώματος στῇ, καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει, διακεχυμένα δὲ ἀσθενέστερά [12]ἐστι καθ' ὃ ἂν εὔδηλα ᾖ τοῦ σώματος.

17. Τὰ δὲ νουσήματα, ὅσα τοῦ θέρεος [13]γίνεται, εἴωθε γίνεσθαι οὕτως· ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται· ὑγραινό-

[1] Καὶ FGHJθ, Ald. - καὶ om. vulg. - συνθαλφθεὶς EHθ. - θαλφθεὶς Mack. - ἐμεέτω Lind., Mack. — [2] ἐπ. E (H, al. manu) P'. - αὖτις (bis) (H, al. manu αὖθις) θ. - προσίστηται (προσίσταται J) vulg. - πνίγηται θ. - ποιεέσθω Mack. - ὑποκλῦσαι Hθ. — [3] ἡ om. θ. - τοῦ om. FGHIJθ. - κινηθῇ J. - καρδίαν J. - τὰ om. EH. — [4] καὶ om. K. - φαρμακίων FGIJ. - τῆς ὀδύνης παύοντα θ. - τὴν τοιαύτην ὀδύνην παύοντα E (H, τοι. om., restit. al. manu). - παύοντα τὴν τοιαύτην νοῦσον (τῆς τοιαύτης νούσου Ald.) vulg. — [5] μεθίστηται (μεθίσταται J) vulg. - Nos mss. accentuent comme vulg. — [6] καὶ ἀπ. ᾖ om. (H, restit. al. manu) θ. - Post θερμῷ addunt ἢν ἡ ἀπύρετος (H, obliter. al. manu) (θ, ἄπυρος). - ἕνεκα IJK. — [7] ἅπερ H. - ὅπερ EQ'θ. - σίτων θ. - δ' EH. — [8] ὅσα οὕτως om. H. - οὕτως om. θ. - καὶ ὑπὸ H. - κάτω, al. manu κάτωθεν H. - γίνεται, al. manu νον H. - ὑποκλῦσαι EHθ. - παύωνται Mack. — [9] ὁπ. EH. - ὅσαι θ. - δ' EH. — [10] σ. θ. - καὶ χλι. om. K. — [11] σ. θ. - γέ (δέ G, Ald.; δή IJK) ἐστι vulg. - γέ om. EHθ. - κρατεῖ θ. - κραταίει EJ. - ὁποῖον EHθ. - ἂν om. GI. - παρέχῃ G,

81) de mélicrat étendu d'eau ; vous y ajouterez du vinaigre, et vous ferez boire cela tiède; puis, après l'intervalle d'un peu de temps, le malade, échauffé en outre par le feu et les couvertures, vomira ; si après le vomissement il y a retour des accidents et suffocation, faites vomir derechef, ou bien, après l'avoir lavé avec de l'eau chaude et abondante, faites-lui prendre un lavement, et appliquez des fomentations tant que la douleur dure. Ces accidents dépendent surtout du phlegme, qui, mis en mouvement, se jette sur le cardia. Aux personnes affectées de la sorte on donnera encore les médicaments qui sont écrits dans la Pharmacie comme calmants de la douleur. Si la douleur se porte tantôt sur un point du ventre, tantôt sur un autre sans qu'il y ait fièvre, on lavera le patient avec beaucoup d'eau chaude, et on lui fera boire, pour la douleur, ce qui est écrit à l'article pleurésie, ou on lui prescrira tel autre calmant qu'on trouvera convenable. La douleur persiste-t-elle, on prescrit un médicament évacuant par le bas, et, tant que la douleur dure, l'abstinence des aliments. De telles souffrances, qui sont erratiques de la sorte, proviennent de la bile. Les douleurs qui surviennent au-dessous de l'ombilic réclament un lavement émollient; si elles ne cèdent pas, un médicament purgatif (Aph. IV, 18).

16. (*Douleurs naissant soudainement sans fièvre.*) Pour toutes les douleurs naissant soudainement dans le corps, sans fièvre, il convient de laver le patient avec beaucoup d'eau chaude et de fomenter. Car le phlegme et la bile, condensés, sont puissants, dominent dans le point du corps, quel qu'il soit, où ils se sont fixés, et causent beaucoup de travail et de douleur; mais, disséminés, ils sont plus faibles dans la partie où l'action s'en fait sentir.

17. (*Origine des maladies d'été.*) Les maladies qui viennent en été se produisent d'ordinaire ainsi : le corps, étant échauffé

Ald. — [12] τέ ἐστι θ. - ἔνδηλα EHI. - ἔνδηλον θ. — [13] γίνεται EHθ. - γίνονται vulg.

μενον δὲ νοσέει, ἢ πᾶν, ἢ ἐς [1]ὅ τι ἂν καταστηρίξῃ τὸ φλέγμα καὶ ἡ χολή. Ἢν μὲν οὖν τις αὐτὰ [2]ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα· [3]ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς [4]θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει.

18. [5]Καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ ἐκ τῶν [6]αὐτῶν γίνεσθαι πεφύκασιν· αὕτη ἡ κατάστασις τῶν νουσημάτων μάλιστα μὲν τοῦ θέρεος [7]γίνεται, ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος. Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, [8]τῇ τετάρτῃ φάρμακον δοῦναι· ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι [9]φάρμακα ποτὰ, [10]οἷσιν μεταστήσεται ὁ πυρετὸς ἢ ἀπολείψει, διδόναι [11]δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι· καὶ τῇ μὲν λήψει ῥοφήματι καὶ ποτῷ διαιτᾷν, ταῖς δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. [12]Λαμβάνει δ' ὡς ἐπὶ τὸ πουλὺ οὐκ ἐπὶ πλεῖστον· ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον καὶ [13]γίνεσθαι πουλυχρόνιος. Ἢν [14]δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν· καὶ [15]διαλιπὼν τρεῖς ἢ τέσσαρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν· διαλιπὼν δὲ κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει· ἢν δὲ πρὸς ταῦτα [16]μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται· [17]ποτήμασι δὲ καὶ ῥοφήμασι καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου· λαμβάνει δὲ οὗτος ὁ πυρετὸς τοὺς μὲν πλείστους πουλὺν χρόνον, τοὺς δὲ καὶ ὀλίγον· καὶ γίνεται μὲν [18]ὁ τριταῖος καὶ [19]ὁ τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος· διότι δὲ [20]ὁ τρι-

[1] Ὅ τι EHθ.-ὃ μέρος vulg.-ὅ τι μέρος P'Q', Lind., Mack.-ἂν om. GIJK.-καταστηρίξει FIJK. — [2] Ante ἀρχ. addit μὴ al. manu J.-θεραπεύῃ.... κακῶς om. J.-ούτ' EH. — [3] ἢν δεῃ (sic) μὴ θεραπευθῇ θ.-ἢν δὲ μὴ (addit. al. manu θεραπεύῃ ἢ κακῶς) θεραπευθῇ H. — [4] θεραπευθῇ EHQ'θ.-καὶ ἔστιν ὅτε καὶ κτείνει θ. — [5] καὶ om. E.-μὲν pro δὲ K. — [6] αὐτῶν Hθ.-τοιούτων vulg. — [7] γίνεται· γίνεται δὲ ἐν τοῖσι καὶ τοῦ χ. θ.-δοκῇ θ. — [8] τῇ om. E. — [9] διδόναι δὲ φάρμακα H. — [10] οἷσιν ἢ vulg.-ἢ om. θ. — [11] δ' θ.-τοῖς φαρμάκοις θ.-τῇσι φαρμακίῃσι FGIJK (φαρμακείῃσι alia manu in margine H).-Ante τῇ addit ἐν alia manu H.-δίαιταν θ. — [12] καὶ λαμβάνει δὲ ὡς ἐπὶ τὸ πολὺ θ (πουλὺ Mack).-πολὺ EHIK. — [13] γίνεται EHθ.-πολυχρ. HIJK. — [14] δὲ om. θ. — [15] διαλειπὼν θ.-διαλείπων vulg.-τέσσαρας EH, Lind., Mack.-τέσσερας θ.-τέτταρας vulg.-δοῦναι EHθ.-ἄνω om. (E, restit. al. manu) FGIK.-κατ'.... ἐν om. θ.-δὲ ἕτερον κάτω (δοῦναι ἐν om., restit. al. manu) αὐτῇ H. — [16] μὴ ponitur ante πρὸς θ.-διαλειπὼν θ.-πάλιν om. (H, restit. al. manu) θ.-φαρμακέων FG.-φαρμακίων IJ. — [17] πότοισι θ.-πο-

par le soleil, s'humecte; humecté, il devient malade soit en totalité, soit dans la partie où se fixent le phlegme et la bile. Traitées dès le début, ces maladies ne sont ni longues ni dangereuses; mais, non traitées ou traitées mal, elles sont sujettes à se prolonger, et mainte fois même elles tuent.

Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη· ἣν δὲ [1]λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. Ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. [2]Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ [3]φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ ἡρώων ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν [4]γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ [5]τοὺς ἐχομένους τῇ νούσῳ αἵματί τε καὶ ἄλλοισι τοιούτοισιν ὥσπερ μίασμά τι ἔχοντας, ἢ ἀλάστορας, ἢ [6]πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν [7]τἀναντία τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. Καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι, τὰ [8]δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπῃ μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται· [9]τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ [10]ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου·

[1] Πυκνότερον καὶ λεπτότερον θικ. – λακτίζει J. — [2] οἷσι pro ὁκόσα θι. – νυκτὸς δείματα θι. – φ(ου)ἀναπηδήσιος E. — [3] φόβ. om. (H, alt manu φόβιστρα) θικ. – φόβηστρα I. – φεύξεις J. – ἐπιβολὰς EHθκ. – ἐπιβουλὰς vulg. – χρῶνται θι. – χρέωνται Fx; Ald. — [4] τε pro γε Eθικ. – Pour ἀθεώτατον Érotien a lu, je pense, ἀντιώτατον, inimicissimum; voyez p. 356, note 10. – Ante ποιέουσιν addunt πρῆγμα θικ. – τὸ θεῖον om. (H, restit. al. manu) θικ. — [5] τοῖσιν ἐχομένοισιν FGIJKZ. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι μιάσμασιν ἔχοντας (ἐχομένους K') ἢ ἀλάστορας vulg. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας (ἔχοντες K; ἔχοντα Z) ἢ ἀλάστορας FGIJKZ. – αἵμασι καὶ τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας Lind. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας L, Mack. – αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἢ ἔχοντας ἀλάστορας Dietz. – αἵματί τε καὶ ἄλλοισι τοιούτοις ὥσπερ μιάσματι ἔχοντας ἢ ἀλάστορας θικ. – Ce passage, difficile vu les altérations des mss., a appelé l'attention d'un critique fort illustre, M. Lobeck (Aglaophamus, t. I, p. 634, note 5) : Hic locus ita interpungendus videtur : καθαίρουσι τοὺς ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἔχοντας ἀλάστορας ἢ πεφαρμαγμένους, etc. Enumerat varios, quibus nebulones illi uti solent, lustrandi prætextus; aut enim eum, qui hoc morbo correptus est, inimici ab uno aliquo majorum seu vi seu veneno (αἵματα καὶ τοιαῦτα μιάσματα) peremti furiis agitari aut devotum esse aut propriorum scelerum conscientia laborare dicunt. La leçon des mss. θικ, qu'il faut, je crois, préférer puisqu'elle est correcte (lisez seulement μίασμά τι au lieu de μιάσματι), ne donne pas précisément

quents comme chez les oiseaux, le surnom est Apollon Nomius. Avec l'écume à la bouche et des battements de pieds, c'est Mars qui est inculpé. Quand, la nuit, surviennent des peurs, des terreurs, des délires, des sauts hors du lit, des visions effrayantes, des fuites hors de la maison, ce sont, disent-ils, des assauts d'Hécate, des irruptions des Héros. Alors ils emploient les purifications et les incantations, faisant, à mon sens, de la divinité ce qu'il y a de moins saint et de moins divin; car ils purifient les personnes atteintes de la maladie avec du sang et autres choses de ce genre, comme si c'étaient gens ayant quelque souillure, des scélérats, des individus frappés d'un charme, ou ayant commis quelque action sacrilége. Loin de là, il faudrait employer des pratiques contraires, sacrifier, prier, et, allant dans les temples, implorer les dieux; mais ils n'ont recours à rien de tout cela, et n'emploient que les purifications. Quant aux objets purifiants, ils les cachent dans la terre, ils les jettent dans la mer, ils les transportent dans les montagnes, là où personne n'y touchera, ni ne marchera dessus. Mais il faudrait porter ces objets dans les temples et en faire offrande à la divinité, si tant est que la divinité soit en cause. Pour moi, je pense que le corps de l'homme n'est pas souillé par la divinité, ce qu'il y a de plus frêle par ce qu'il y a de plus pur. Mais s'il arrive que

ce sens-là. —[6] πεφαρμακευμένους θι.-πεφραγμένους GZ, Ald.-Comparez pour ces hommes *frappés d'un charme*, πεφαρμαγμένους, les anneaux enchantés, δακτύλιος φαρμακίτης, dont il y avait un si grand débit à Athènes (Aristophane, *Nubes*, v. 756-758, et le Scholiaste ad h. loc.).-ὑπ' θ.-ἤ πέργον pro ἤ τι ἔργον θιχ.-εἰργασμένους FJKLP', Lind., Mack.-ἐργασαμένους vulg.-τοὺς pro οὓς Dietz. —[7] ταντία θ.-τούτων θι.-θύειν om. θιχ.-ἐς θ, Dietz.-εἰς vulg.-ἱκετεύειν.... φέροντας om. GIJKZ, Cod. Mediceus ap. Mack.-οὐθὲν EH. —[8] δ' θ.-φέρουσι θι.-ὄχη Dietz.-ἄψεται H, Dietz.-ἅψηται vulg.-μηδὲν βήσεται θιχ.-ἐπιβήσεται H, Dietz.-ἐπιβήσηται vulg. —[9] τάδε χρῆν θ.-χρῆν ιχ.-ὁ θεὸς θι.-γε om. θ.-ἐγὼ θ.-ἐγὼν ι. —[10] ἐπιχηρότατον Εθι, Cod. Mediceus ap. Mack.-ὑποχηρότατον vulg.-καὶ ἦν θι.-ὑφ' ἑτέρου θι.-πεπονθὸς ὑπὸ τοῦ (τοῦ om. ι) θεοῦ, καθαίρεσθαι ἂν αὐτὸ καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μαίνεσθαι pro πεπονθὸς.... μιαίνεσθαι θ (μιαίνεσθαι ι).

ἀλλὰ κῆν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ [1]καθαῖρον καὶ ἁγνίζον καὶ ῥύμμα γινόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων [2]ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ, εἰσιόντες τε [3]ἡμεῖς περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.

2. Τὸ δὲ [4]νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ ἄλλα νουσήματα, καὶ πρόφασιν ὅθεν ἕκαστα γίνεται· φύσιν δὲ τοῦτο καὶ πρόφασιν [5]ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι ἀφ' ὅτου καὶ τἄλλα πάντα, καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅ τι ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἔῃ, [6]ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων [7]τῶν προσφερομένων. Ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα κατὰ γένος· εἰ γὰρ [8]ἐκ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ ἐκ σπληνώδεος σπληνώδης, τί κωλύει [9]ὅτῳ πατὴρ καὶ μήτηρ εἴχετο, τούτῳ τῷ νοσήματι καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; ὡς ὁ γόνος ἔρχεται [10]πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς, [11]ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον δὲ μέγα τεκμήριον ὅτι οὐδὲν [12]θειότερόν ἐστι τῶν λοιπῶν νουσημά-

[1] Καθαῖρον καὶ om. E. – καὶ om. ante ἁγνίζον P'. – ῥύμμα θιx. – ἔρυμα vulg. – ἔρημα Ald. – γινόμενον θιx. – γεν. vulg. – οὔρους Dietz. – ἱρῶν θι. — [2] δείκνυνται θι. – ὑπερβαίνοι vulg. – ὑπερβαίνῃ JLθιx, Lind. – ἣν Hθιx. – ἢ (εἰ FJKLP', Lind., Mack, Dietz.) vulg. – ἁγνεύῃ θι. – ἁγνεύοι vulg. – ἀγγεύοι Ald. – Dietz a mis entre crochets τε. — [3] ἡμεῖς θιx. – ἡμεῖς om. vulg. – περιραινόμεθα θιx. – ἀλλ'.... ἀφαγνιούμενοι om. θιx. – ἀλλ' ἔτι Codex Mediceus ap. Mack. – εἴχομεν Dietz. – μῦσος vulg. – μύσος Kühn, Dietz. – ἀπαγνιούμενοι vulg. – ἀφαγνιούμενοι EFGHIJKLZ, Ald., Lind. — [4] νόσ. θιx. – μοι om. GIJ. – θιότερον θ. – ἔχειν Lind. – ἣν om., et δὲ pro καὶ ι. – τἄλλα θ. – τὰ om. ι. – νοσήματα θιx. – καὶ πρόφασιν om. θιx. — [5] Ante ἀπὸ addit καὶ ι. – τοῦ αὐτοῦ θι. – τωὐτοῦ Dietz. – τὸ om. θι. – ἀφοτευ (sic) θ. – ἀπ' ὅτεο Dietz. – ὅτι μὴ vulg. – ὅτι ἂν μὴ EFHI (μὲν pro μὴ K) JP'x, Mack. – ὅταν μὴ Dietz. – βεβιασμένον ἢ θι. – Ante καταβεβιασμένον addit καὶ x. — [6] ὡς θ. – ὥστ' ι. – ἤδη om. θι. – ἰσχυρότερον εἶναι Hθι. — [7] τῶν om. θι. – τε pro δὲ θιx. – νοσήματα θ. — [8] ἐκ τοῦ vulg. – τοῦ om. θιx. – σπληνίας pro σπληνώδης θιx. — [9] ὅτου (ὅτεο Dietz) π. καὶ μ. εἴχετο τούτῳ τῷ νοσήματι (νουσήματι Dietz), τούτῳ (τούτων K) καὶ τῶν (καὶ ἐκ τῶν P'Q', Lind., Mack) ἐγγόνων (ἐκγόνων FHK; ἐκ γονέων J) ἔχεσθαί τινα vulg. – ὅτω π. καὶ μ. εἴχετο, τούτω τῶ νο-

ce corps reçoive, d'autre part, souillure ou souffrance, il sera sans doute nettoyé et purifié par le dieu loin d'être souillé. C'est donc la divinité qui nettoie et purifie les plus grandes et les plus impies de nos fautes, c'est elle qui nous lave; nous-mêmes nous traçons autour des temples des dieux et de leurs enceintes des limites que personne ne doit franchir s'il n'est en état de pureté; et, les franchissant, nous faisons des ablutions, non pas comme recevant quelque souillure, mais comme nous purifiant de toute tache si nous en apportons quelqu'une. Voilà quelle est mon opinion sur les expiations.

2. (*La cause de l'épilepsie est naturelle comme celle de toutes les autres maladies.*) Quant à la maladie dont il s'agit ici, elle ne me paraît pas plus divine que le reste, mais elle a la nature qu'ont les autres maladies, et la cause dont chacune dérive. Cela (la nature et la cause) est le divin d'où provient tout le reste. Elle est curable, et elle ne l'est pas moins que les autres affections, pourvu qu'un long temps ne l'ait point enracinée de manière à la rendre plus forte que les remèdes administrés. Elle naît, comme les autres maladies, par hérédité; si, en effet, d'un phlegmatique naît un phlegmatique, d'un bilieux un bilieux, d'un phthisique un phthisique, d'un individu à rate malade un individu à rate malade, où est l'obstacle que la maladie dont le père ou la mère a été affecté n'affecte aussi quelqu'un des enfants? car le sperme, venant de toutes les parties du corps, vient sain des parties saines, malade des parties malades (Des Airs, des Eaux et des Lieux, § 14, t. II, p. 60). Une autre grande preuve que cette affection n'est en rien plus divine que le reste, c'est qu'elle survient naturellement chez les phlegmatiques et n'attaque

σήματι καὶ τῶν ἐκγόνων (ἐγόνων x) ἔχεσθαί τινα θιx. — [10] παντὸς ἐν pro πάντοθεν θ. – παντὸ (sic) ἐν τῷ σώματι ι. – ἢν μὲν οὖν ἀπὸ pro ἀπό τε FGIJKLZ. – ἢν μὲν οὖν ἀπό τε Q'. – εἰ μὲν οὖν ἀπὸ Codex Mediceus ap. Mack. — [11] καὶ ἀπὸ νοσηρῶν νοσηρὸς pro ἀπό τε τῶν ν. ν. θιx. – καὶ ἐκ τῶν L. – εἰ δὲ ἀπό τε Q'. – εἰ δ' ἐκ νοσερῶν FIJKZ, Codex Mediceus ap. Mack. — [12] θεῖον FHJKZ, Ald. – νοσημάτων θ. – τοῖσι δὲ λοιποῖσι φλεγματώδεσι pro τοῖσι γὰρ φλ. θι.

των· τοῖσι γὰρ φλεγματώδεσι φύσει γίνεται· τοῖσι δὲ χολώδεσιν οὐ προσπίπτει· [1]καίτοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον ταύτην, καὶ μὴ διακρίνειν μήτε χολώδεα μήτε φλεγματώδεα.

3. Ἀλλὰ [2]γὰρ αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ [3]καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων· ὅτέῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. Ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου ἐστὶ διπλόος ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασιν· τὸ δὲ μέσον αὐτοῦ [4]διείργει μῆνιγξ λεπτή· διὸ οὐκ αἰεὶ κατὰ τωὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον, ὁτὲ δὲ ἅπασαν. Καὶ φλέβες [5]δ' ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταὶ, δύο δὲ παχεῖαι, [6]ἡ μὲν ἀπὸ τοῦ ἥπατος, [7]ἡ δὲ ἀπὸ τοῦ σπληνός. Καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος ὧδ' ἔχει· τὸ μέν τι τῆς φλεβὸς κάτω τείνει διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύην ἐς τὸ ἐντὸς τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ· ἡ [8]δὲ ἑτέρη ἄνω τείνει διὰ φρενῶν τῶν δεξιῶν καὶ τοῦ πλεύμονος· ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν· [9]τὸ δὲ λοιπὸν ἄνω φέρει διὰ τῆς κληῖδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, [10]ἐς αὐτὸ τὸ δέρμα, ὥστε κατάδηλός εἶναι· [11]παρὰ δὲ τὸ οὖς κρύπτεται καὶ ἐνταῦθα σχίζεται, καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον ἐς τὸν ἐγκέφαλον τελευτᾷ, τὸ δὲ ἐς τὸ οὖς τὸ δεξιὸν [12]φλέβιον λεπτὸν, τὸ δὲ ἐς [13]τὸν ὀφθαλμὸν τὸν δεξιὸν, τὸ [14]δὲ ἐς τὸν μυκτῆρα. Ἀπὸ μὲν τοῦ ἥπατος οὕτως ἔχει [15]τῶν φλεβῶν. Διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλὲψ ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ [16]καὶ ἀπὸ τοῦ ἥπατος, λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη.

[1] Καὶ τοῖσι pro καίτοι εἰ FGHIJKZθι. – πᾶσιν θι. – ἔδεε Dietz. — [2] γὰρ αὐτοῖσιν vulg. – αὐτοῖσιν om. θιχ. — [3] καὶ om. Hθιχ. – νοσημάτων Fθ. – ὅτῳ δὲ τῶ τρόπω θιχ. – σαφῶς E. – σάφα θι. – ἐστι τοῦ ἀνθρώπου HXθιχ. – ζώοις θιχ. — [4] διείργει θιχ. – διαιρέει vulg. – διότι vulg. – διὸ θ. – αἰεὶ Lind., Dietz. – ἐεὶ θ. – ἀεὶ vulg. – τωυτὸ θ, Dietz. – τὸ αὐτὸ vulg. – ἅπασαν FHIθιχ. – ἅπασα vulg. – ἅπας K. — [5] δ' θ. – δὲ Dietz. – τε vulg. – ἐς θ, Dietz. – εἰς vulg. – παχέαι Dietz. — [6] ἡ.... σπληνὸς om. ιχ. — [7] ἡ.... ἥπατος om. θ. – ὧδε Dietz. – μέντοι pro μέν τι GZχ, Ald., Frob., Lind., Mack. – τοῦ σπληνὸς pro τῆς φλεβὸς θι. – παρὰ Dietz. – ψοιὴν EHX. – ψοὰν θι. – ψοὴν Codex Mediceus ap. Mack. — [8] δ' θ. – φρενῶν Dietz. – φλεβῶν vulg. – διὰ τῶν φλεβῶν καὶ τοῦ πλεύμονος τῶν δεξιῶν θιχ. – πνεύμονος vulg. – πλεύμονος ubique Dietz. – La correction de Dietz, de φλεβῶν en φρενῶν, est bonne. Voyez plus bas, p. 374, note 5, une confusion, dans certains mss., entre φρένας et φλέβας. — [9] καὶ τὸ sine δὲ

pas les bilieux; cependant, si elle était plus divine que les autres, il faudrait qu'elle attaquât indistinctement tous les tempéraments et qu'elle ne fît acception ni de bilieux ni de phlegmatiques.

3. (*Le cerveau est l'origine de l'épilepsie comme de toutes les autres très-grandes maladies. Description des veines, dont deux grosses sont supposées partir du foie et de la rate, et se rendre au cerveau.*) La vérité est que le cerveau est l'origine de cette affection comme de toutes les autres très-grandes maladies; de quelle façon et par quelle cause? je vais l'expliquer clairement. Le cerveau est double chez l'homme comme chez tous les autres animaux; le milieu en est cloisonné par une membrane mince. Aussi la souffrance ne se fait-elle pas toujours sentir dans le même point de la tête, mais elle est tantôt d'un côté, tantôt de l'autre, et quelquefois aussi partout. Des veines y arrivent de tout le corps, nombreuses et menues, mais deux grosses, l'une du foie, l'autre de la rate. Celle du foie se comporte ainsi: une certaine partie de la veine descend à droite le long du rein et des lombes jusqu'au dedans de la cuisse et arrive au pied, on la nomme veine cave; l'autre portion marche en haut à travers le diaphragme droit et le poumon, elle donne une branche au cœur et au bras droit, le reste monte par la clavicule à la droite du cou sous la peau même, où elle est visible. Près de l'oreille elle se cache et là se divise: la portion la plus grosse, la plus grande et la plus creuse se termine dans le cerveau; l'autre portion se rend d'une part dans l'oreille droite (et ce n'est qu'une veine menue), d'autre part dans l'œil droit, d'autre part enfin dans la narine. Telle est la disposition des veines provenant du foie. Quant à celle de la rate, elle se distribue à gauche en bas et en haut comme celle du foie; elle est plus menue et plus faible.

θιχ. — [10] καὶ αὐτοῦ pro ἐς αὐτὸ Lind., Mack. -τὸ αὐτὸ LX. -εἶναι θιχ. -ἐστι vulg. — [11] παρ' αὐτὸ δὲ τὸ θιχ. — [12] φλέβιον λεπτὸν om. θιχ. — [13] Ante τὸν addit τὸ οὖς J. — [14] δ' Xθ. — [15] τὰ τῶν θιχ. -τῆς σπληνὸς FGZ. — [16] καὶ ἡ ἀπὸ θ.

4. Κατὰ ταύτας δὲ τὰς φλέβας καὶ [1] ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος· αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι, καὶ [2] ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσι κατὰ τὰ φλέβια, καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. Οὐ γὰρ [3] οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει ἄνω καὶ κάτω· ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος ὅπου ἂν στῇ· τεκμήριον δέ· [4] ὁκόταν καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι διὰ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. Περὶ [5] μὲν τῶν φλεβῶν καὶ τῶν λοιπῶν οὕτως ἔχει.

5. [6] Ἡ δὲ νοῦσος αὕτη γίνεται τοῖσι μὲν φλεγματίῃσι, τοῖσι δὲ χολώδεσιν οὔ. Ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου [7] ἔτι ἐν τῇ μήτρῃ ἐόντος· καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ τἄλλα μέρεα, πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. Ἐν ταύτῃ δὲ τῇ καθάρσει ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ καὶ μήτε [8] πλέον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν [9] ἔχει· ἢν δὲ πλέονα ῥυῇ ἀπὸ παντὸς τοῦ ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται, νοσώδεά [10] τε τὴν κεφαλὴν ἕξει αὐξόμενος καὶ ἤχου πλέην, καὶ οὔτε ἥλιον οὔτε ψῦχος ἀνέξεται· ἢν [11] δὲ ἀπὸ ἑνός τινος γένηται ἢ ὀφθαλμοῦ ἢ οὔατος, ἢ φλέψ τις [12] συνισχνανθῇ, ἐκεῖνο κακοῦται τὸ μέρος, ὁκοίως ἂν καὶ

[1] Ἐπαγόμεθα Lθιx. – πολὺ Xθ. – πολλοῦ x. – ἡ μέσω pro ἡμέων J, Codex Mediceus ap. Mack. – ἡμῖν θx. – ἀναπνοαὶ ἐκ τοῦ στόματος καὶ τὸν ἠέρα ἐς σφᾶς ἕλκομεν θιx. – σφέας Dietz. — [2] ἐς om. K. – ὀχετεύουσι κατὰ τὰ θιx. – ὀχετεύουσαι καὶ κατὰ τὰ vulg. — [3] οἴονται θιx. – χωρέειν EFHIJKXZ. – ἀλλ' ἀναχωρέει θιx. – ἄνω τε καὶ κάτω θ. – καθ' ὃ pro τὸ μέρος ὅπου EH. – καθ' ὃ pro ὅπου XQ'x, Lind., Mack. – καθ' ὅτι pro ὅπου θι. – ὅκου Dietz. — [4] ὅταν θιx. – Ante καθ. addit γὰρ vulg. – γὰρ om. GIJKZθιx, Lind. – κατακειμένω ἢ καθημένω θιx. – κατακεομένῳ Dietz. – αἷμα pro πνεῦμα θ. – διὰ θιx. – ἀπὸ pro διὰ vulg. – νάρκα θιx. — [5] μὲν om., restit. al. manu H. – καὶ HX. – καὶ om. vulg. – καὶ τῶν λοιπῶν om. θ. — [6] Dans la collation venant de Dietz qui m'a été remise, on lit cette note : Abhinc collatum est præter codices huc usque commemoratos fragmentum codicis Vindobonensis XXIX. Inscribitur fragmentum : περὶ ἱερῆς νόσου διήγησις μερική. Incipit : αὕτη ἡ νοῦσος ἄρχεται φύεσθαι ἐπὶ φλεγματίῃσι κτλ. – μὲν om. θ. — [7] ἔτι om. (H, restit. al. manu) θ. – καθαίρηται Lind. – τὰ ἄλλα Xθλ. – μέλεα θιx. – πρὶν ἢ θιxλ. – Kühn, dans les notes qui m'ont été transmises par M. Rosenbaum, propose de lire ἀφρέει au lieu de ἀνθέει ; mais il n'y a rien à changer ; ἀνθέει est assuré et expliqué par un passage du livre Des Humeurs, § 1, ligne 2, t. V, p. 476. – καθάρσι Dietz. — [8] πλέον μήτ' ἔλασσον θιxλ. – πλεῖον vulg. – ἀπορυῇ X. – οὕτος XP'λ, Mack.

4. (*Les veines attirent l'air, et l'air est l'entretien de la sensibilité; comparez* Des Vents, § 14.) Par ces veines nous attirons la plus grande partie de l'air; car ce sont pour nous des soupiraux du corps qui aspirent l'air. Elles le distribuent partout à l'aide des petites veines; puis elles l'exhalent, ayant ainsi procuré le rafraîchissement. Car le souffle ne peut rester en place, mais il va en haut et en bas; en effet, s'il s'arrête en quelque point et y est intercepté, la partie où il s'arrête devient incapable de se mouvoir. En voici la preuve : quand, assis ou couché, des veines sont tellement comprimées que l'air ne puisse y passer, il survient aussitôt un engourdissement. Telle est la condition des veines et du reste.

5. (*Théorie de la purgation du cerveau, soit dans l'utérus, soit après la naissance, à l'effet d'expliquer la santé ou la maladie des enfants.*) La maladie dont il s'agit attaque les phlegmatiques et non les bilieux; le germe en commence chez l'embryon encore enfermé dans l'utérus. En effet, le cerveau, comme les autres parties avant la naissance, se purge et a une efflorescence. Par cette purgation, si elle s'opère bien et dans une juste mesure, et qu'il ne s'écoule rien de trop ni rien de trop peu, l'individu aura la tête la plus saine. Mais si l'écoulement de tout le cerveau est trop abondant et qu'il y ait une fonte considérable, il aura, grandissant, la tête malsaine, pleine de bruit, et ne pourra supporter ni le soleil, ni le froid. Si l'écoulement provient d'une seule partie, de l'œil par exemple, ou de l'oreille, ou si quelque veine s'est contractée, cette partie est lésée en proportion de la fonte qui a eu lieu.

-ὑγιηροτάτην HXθι. -ὑγιειροτέρην E. —[9] ἕξει Lind. -ἢν δὲ πλείων (πλείω E HK) ἀπὸ παντὸς τοῦ (τοῦ om. J) ἐγκ. γένηται ἡ ἀπότηξις vulg. -ἢν δὲ πλέονα ῥυῇ ἀπὸ τοῦ παντὸς ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται θ. -ἢν δὲ πλέον ἀπὸ τοῦ παντὸς ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται ιx. —[10] τε om. θ. -ἕχει FIJKLXZλ, Codex Mediceus ap. Mack. -αὐξανόμενος θι. -αὐξάμενος Codex Mediceus ap. Mack. —[11] δὲ om. X. -ἢ ἀπὸ ὀφθαλμοῦ vulg. -ἀπὸ om. ι. -ὠτὸς θι. —[12] ξ. Dietz. -συνισχρανθῇ (H, emend. al. manu) x. -συνεισχρανθῇ FJ. -συνεισχιανθῇ GZ. -ἐκεῖνος (ἐκεῖνο H) κακοῦται οὕτως ὁκοίως ἂν vulg. -κεῖνο κακοῦται τὸ μέρος ὅπως ἂν θιxλ.

τῆς ἀποτήξιος ἔχῃ· ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ [1] ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. Καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα [2] ἐς τὴν κεφαλὴν καὶ ἐς τὰ οὔατα καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα [3] γίνεται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης· ἐνταῦθα γὰρ ἀφίει καὶ ἐκκαθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐν τῇ μήτρῃ καθαρθῆναι· καὶ τὰ οὕτω [4] καθαρθέντα οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πουλύ. Ὁκόσα δὲ [5] καθαρά ἐστι, καὶ [6] μήθ' ἕλκος μηδὲν μήτε μύξα μήτε σίελον αὐτοῖς προέρχεται [7] μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, [8] τούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου.

θ. Ἢν [9] δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥοος τὴν πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται· [10] ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πλεύμονα ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα· αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι πρὸς τῷ [11] πλεύμονι καὶ τῇ καρδίῃ πηδῶσι, καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν καὶ τὴν ὀρθοπνοίην. [12] Οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει, μέχρις ἂν κρατηθῇ [13] τοῦ φλέγματος τὸ ἐπιῤῥυὲν καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας· ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος· παύεται δὲ [14] ὅκως ἂν τοῦ πλήθεος ἔχῃ· ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, σχολαίτερον, ἢν δὲ ἔλασσον, θᾶσσον· [15] καὶ ἢν μὲν

[1] σ. Ηθ. – ὅσοισι ικλ. – οἷσι θ. – παιδίοις θικλ. — [2] καὶ ἐς θικλ. – ὦτα θικλ. – ἄλλον om. θικλ. — [3] γίνεται θ. – γίγνεται Dietz. – γένηται vulg. – ἐνθαῦτα Dietz. – δὲ pro γὰρ J. – ἀφιεῖ λ. – ἀπιεῖ Dietz. – ἐκκαθαίρεται θ. – καθαίρεται vulg. – ἐν τῇ μήτρῃ θικλ. – ἐς τὴν μήτρην vulg. — [4] παιδευθέντα οὐ γίνεται ἐπίληπτα τῇ νούσῳ ταύτῃ ἐπὶ τὸ πολὺ θικλ. – ἐπὶ τὸ πουλὺ FH, Lind., Dietz. – ἐπιτοπολὺ vulg. — [5] καθαρά τέ ἐστι Ηθικλ. — [6] μὴ Z, Ald. – μήτε θ, Dietz. – ἕλκεος E. – μηθὲν EH. – σίελον θικλ. – σίαλον vulg. – αὐτοῖς θικλ. – αὐτοῖς om. vulg. — [7] μηθὲν HXικλ. – μηδὲν om. θ. – μήτ' pro μήτε θ. — [8] τούτοισι (H, alia manu τοῖσι τοιούτοισι) Xθ. – τοῖσι τούτοισι ικ. – τοῖσι τοιούτοισι vulg. – Ante ἐπικ. addunt δὲ Ηθικ. – Si on admettait δὲ, il faudrait le prendre dans le sens de δή. – ἐστιν om. FGIJKZ. — [9] δ' θ. – κατάῤῥοος θ, Dietz. – κατάῤῥους vulg. – πορίην Kθ. – πορανίην (sic) ικλ. – ἐπιλαμβάνῃ F. – ἆσθμα θικλ. — [10] ὅταν θικλ. – πνεῦμα pro φλέγμα θικλ. – πλεύμονα θ, Dietz. – πν. vulg. – καὶ pro ἢ ἐπὶ θικλ. — [11] πλ. θ, Lind., Dietz. – πν. vulg. – τὸ ἆσθμα θικλ. – ἐμπίπτειν Eθικλ. – ὀρθόπνοιαν ικλ. — [12] οὐ γὰρ δέχεσθαι τὸ πνεῦμα ἐθέλει vulg. – οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει θι. – ἄχρι θιλ. – ἂν om. (H, restit. al. manu) θικλ. — [13] ὑπὸ τοῦ φλέγματος (πνεύματος L, Lind.; αἵματος

Enfin si la purgation ne s'est pas opérée, et qu'il y ait eu concentration dans le cerveau, le sujet sera nécessairement pituiteux. Ceux qui, dans leur enfance, ont des éruptions à la tête, aux oreilles et au reste du corps, et sont affectés d'écoulements salivaire et nasal, ceux-là se portent le mieux à mesure qu'ils avancent en âge; car de cette façon se décharge et se purge le phlegme dont l'économie aurait dû se débarrasser dans l'utérus. Ainsi purifiés, ils ne sont guère exposés à cette affection; mais ceux dont le corps est net, et qui n'ont ni ulcération, ni flux muqueux, ni flux salivaire, sans avoir, dans la matrice, passé par la purification préalable, sont dans le danger d'être ainsi affectés.

6. (*Points où se porte la fluxion venant du cerveau. Comparez* Des Lieux dans l'homme, §§ 10 *et suiv.*) Si le flux prend sa marche vers le cœur, il survient des palpitations, de la dyspnée, la poitrine s'altère, quelques-uns même deviennent bossus. En effet la pituite froide, descendant sur le poumon ou sur le cœur, refroidit le sang; les veines, saisies violemment par ce refroidissement, battent contre le poumon et le cœur, le cœur palpite et il en résulte nécessairement la gêne de la respiration et l'orthopnée, car le patient ne reçoit pas le souffle autant qu'il le veut, tant que le phlegme affluant n'a pas été surmonté, échauffé et dispersé dans les veines. Alors cessent les palpitations et la dyspnée, et elles cessent dans la mesure de la quantité du flux, c'est-à-dire plus lentement si le flux est plus considérable, plus vite s'il est moindre. De la

K', Mack) vulg. – ὑπὸ om. θι. – πνεύματος de L ou αἵματος de K' sont des essais de correction qui deviennent inutiles quand on a la bonne leçon, qui est de supprimer ὑπὸ avec θι. Il en est de même de cette note de Dietz: Mendum asterisco significasse sategi, hæsitabundus num probanda sit mea emendatio; ὑπ' αὐτοῦ (a corde) τοῦ φλέγματος τὸ, etc., quam lectionem latine expressi. Dietz était arrivé très-près de la bonne leçon, et avait du moins touché le véritable sens, en rapportant τοῦ φλέγματος à τὸ ἐπιῤῥυέν, et non pas à ὑπὸ de vulg. — [14] ὅπως ἂν καὶ τοῦ πλήνθεος (sic) θ. – ἂν καὶ τοῦ EHλ. – σχεδιέτερον θικλ. – δ' θ. — [15] καὶ om. IJZ. – μὲν om. θικλ. – ἐῶσιν θ. – κατάρροοι FZθ, Dietz. – κατάῤῥοι vulg.

πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος γίνεται, [1]ἢν δὲ μὴ, ἀραιότερα. Ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πλεύμονα καὶ τὴν καρδίην [2]ἴῃ· ἢν δὲ ἐς τὴν κοιλίην, διάῤῥοιαι [3]λαμβάνουσιν.

7. [3]Ην δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας, ἃς προείρηκα, τὸν κατάῤῥοον ποιήσηται, ἄφωνός [4]τε γίνεται καὶ πνίγεται, καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει, καὶ οἱ ὀδόντες συνηρείκασι, καὶ αἱ χεῖρες [5]συσπῶνται, καὶ τὰ ὄμματα διαστρέφονται, καὶ οὐδὲν φρονέουσιν, ἐνίοισι [6]δὲ καὶ ὑποχωρέει ἡ κόπρος κάτω· καὶ ταῦτα γίνεται [7]ὁτὲ μὲν ἐς τὰ ἀριστερὰ, ὁτὲ δὲ ἐς τὰ δεξιὰ, ὁτὲ [8]δὲ ἐς ἀμφότερα. Ὅκως δὲ τούτων ἕκαστον πάσχει ἐγὼ φράσω· ἄφωνος μέν ἐστιν ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας ἀποκλείσῃ τὸν ἠέρα καὶ μὴ παραδέχηται [9]μήτε ἐς τὸν ἐγκέφαλον μήτε ἐς τὰς φλέβας τὰς κοίλας μήτε ἐς τὰς κοιλίας, ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν· ὅταν γὰρ [10]λάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας τὸ πνεῦμα, πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται, ἔπειτα [11]δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος, τὸ [12]δὲ ἐπὶ τὸν πλεύμονα, τὸ δὲ ἐπὶ τὰς φλέβας. Ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας· [13]καὶ ὅσον μὲν ἐς τὴν κοιλίην ἔρχεται, τοῦτο μὲν τὴν κοιλίην διαψύχει, καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται· [14]ὁ δ' ἐς τὸν πλεύμονά τε καὶ τὰς φλέβας ἀὴρ ξυμβάλλεται ἐς τὰς κοιλίας ἐσιὼν καὶ ἐς τὸν ἐγκέφαλον, καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει, [15]ὥστε, ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος

[1] Ἢν δὲ μὴ ἀρ. om. FGHIJKZθικλ, Codex Mediceus ap. Mack, Ald. – οὖν om. θικλ. – πλεύμονα θ, Lind., Dietz. – πν. vulg. — [2] ἔῃ ELXP'Q'κ. – ἤ θι. — [3] λάβωσιν FGIJKZ, Ald. – ἣν μὲν τουτέων pro ἢν δὲ τουτέων μὲν FGIJKZ. – τούτων θι. – ἀποκλισθῇ θ. – ἀποκληϊσθῇ Dietz. – Dietz suit partout cette forme pour le verbe κλείζω. — [4] τε om. θ. – ῥεῖ θ. – ῥέει ικ. – ἐκρέῃ FZ, Ald. – συνήρκασι vulg. – ξυνήρκασι Dietz. – συνηρείκασι θλ, Mack. — [5] ξ. Dietz. — [6] δὲ FGHIJKZθικλ, Ald. – δὲ om. vulg. – ἡ κόπρος om. θικλ. — [7] ἐνίοτε θι. – ἐς τὰ ἀριστερὰ HXQ'θι. – ἐς τἀριστερὰ κ. – ἐπ' ἀριστερὰ vulg. — [8] δ' θ. – ὅπως θ. – ὅταν θικλ. – ἐξαίφνης om. FGJKZ. – πνεῦμα pro φλέγμα EJGP'Q'κλ, Codex Mediceus ap. Mack. – ἐπὶ pro ἐς θκλ. – ἠέρα EHXQ'θ, Lind., Mack, Dietz. – ἀέρα vulg. — [9] μήτ' (bis) θ. – μήτε ἐς τὰς κοιλίας om. θι. — [10] λάβῃ θι. – ἐπιλάβῃ vulg. – Si on gardait ἐπιλάβῃ ici et dans le membre de phrase immédiatement précédent, il faudrait donner à ces deux ἐπιλάβῃ un sens opposé dans l'un et l'autre passage. Je crois donc bonne la leçon de θι. – ὤνθρωπος Dietz. – μὲν om. K. — [11] δ' θ. – δὲ om. X. — [12] δ' ἐπὶ τὸν πλ. θ. – πν. vulg. – τὸ δ' ἐπὶ τὰς θ. – τούτων θ. – σκιδνᾶται ἐπὶ τὰ θικ. – σκορπίζεται

même façon, des flux qui se répètent fréquemment produisent des accès fréquents; éloignés, des accès éloignés. Voilà ce qui se passe quand le flux va sur le poumon et sur le cœur. Mais s'il se rend dans le ventre, c'est la diarrhée qui survient.

7. (*Production de l'épilepsie. Explication des accidents.*) Le flux est-il au contraire coupé de ces voies, et pénètre-t-il dans les veines que j'ai indiquées plus haut? le sujet perd la voix et étouffe, l'écume lui sort de la bouche, il grince des dents, les mains se tordent, les yeux divergent, toute connaissance est perdue, quelquefois même il y a sortie des excréments. De tels accidents se manifestent tantôt à gauche, tantôt à droite, tantôt des deux côtés. Je vais expliquer comment chacun de ces accidents survient. Le sujet perd la voix parce que le phlegme, descendant tout à coup dans les veines, intercepte l'air, qui n'est plus reçu ni dans le cerveau, ni dans les veines caves, ni dans les cavités, la respiration étant interceptée. En effet, quand on aspire le souffle par la bouche et les narines, ce souffle va d'abord au cerveau; puis la plus grande partie va dans le ventre, et le reste dans le poumon et dans les veines; de là il se répand, par les veines, dans les autres parties. La portion qui va dans le ventre raffraîchit le ventre et n'a pas d'autre usage. Mais l'air qui va dans le poumon et dans les veines, s'introduisant dans les cavités et dans le cerveau, concourt et produit ainsi l'intelligence, et, dans les membres, le mouvement. De la sorte, quand par le phlegme l'air est exclu des veines, qui ne le reçoivent plus, le patient

pro σκίδ. P' (λ, supra lineam). — [13] καὶ ὅσον ἐς μὲν (μὲν ἐς GHIJXZ, Ald.) τὴν κοιλίην διαψύχει καὶ ἄλλο vulg. – καὶ ὅσον μὲν ἐς τὴν κοιλίην ἔρχεται, τοῦτο μὲν τὴν κοιλίην διαψύχει καὶ ἄλλο θ. – τι om. (H, restit. al. manu) θ. – οὐθὲν EH. — [14] τοῦτο δ' ἐς τὸν πνεύμονα (τωὐτὸ δὲ τὸ ἐς τὸν πλεύμονα K', Dietz)· ὁ δὲ ἐς τὰς φλέβας vulg. – ὁ δ' (τοῦτο δ' ιχλ) ἐς τὸν πλεύμονά τε καὶ τὰς φλέβας θιχλ. – Dietz approuve et adopte la correction de Cornarius, qui est fort ingénieuse. Mais, dans un passage difficile, j'ai mieux aimé suivre une leçon de mss. qui n'a pas besoin de correction. – ἠὴρ Lind., Dietz. – ἐσιὼν θ, Dietz. – εἰσιὼν vulg. – Post ἐγκέφαλον addunt ἔρχεται θιχ. – παρέχει τοῖσι μέλεσι X. — [15] ὥστ' θ. – παραδέχονται Xθι. – καθιστᾶ FK. – καθίστασι θ. – καπιστέασι Dietz.

καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. Αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, [1] τοῦ αἵματος ἀτρεμίσαντος καὶ μὴ διαχεομένου ὥσπερ εἰώθει. Καὶ οἱ ὀφθαλμοὶ [2] διαστρέφονται, τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος καὶ σφυζόντων. Ἀφρὸς [3] δὲ ἐκ τοῦ στόματος προέρχεται ἐκ τοῦ πλεύμονος· ὅταν γὰρ τὸ πνεῦμα μὴ ἐσίῃ ἐς αὐτὸν, [4] ἀφρέει καὶ ἀναβλύει ὥσπερ ἀποθνήσκων. Ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου· πνίγεται δὲ τοῦ ἥπατος καὶ [5] τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου· προσπίπτει [6] δὲ ὁκόταν τὸ πνεῦμα μὴ ἐσίῃ ἐς τὸ [7] στόμα ὅσον εἰώθει. Λακτίζει δὲ τοῖσι ποσὶν, ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι καὶ μὴ οἷός τε ἔῃ [8] διεκδῦναι ἔξω ὑπὸ τοῦ φλέγματος· ἀΐσσων [9] δὲ διὰ τοῦ αἵματος ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. Ταῦτα δὲ πάσχει πάντα, [10] ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ ἐς τὸ αἷμα θερμὸν ἐόν· ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα· [11] κἢν μὲν τὸ ῥεῦμα πουλὺ ἔῃ καὶ παχὺ, αὐτίκα ἀποκτείνει· κρατέει γὰρ τοῦ αἵματος τῷ [12] ψύχει καὶ πήγνυσιν· ἢν δὲ ἔλασσον ἔῃ, τὸ μὲν παραυτίκα κρατέει ἀποφράξαν τὴν ἀναπνοήν· ἔπειτα τῷ χρόνῳ ὁκόταν σκεδασθῇ κατὰ τὰς φλέβας καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα [13] αἱ φλέβες, καὶ ἐφρόνησαν.

8. Καὶ ὁκόσα μὲν παιδία σμικρὰ κατάληπτα [14] γίνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται καὶ νότιον ἔῃ· τὰ γὰρ φλέβια λεπτὰ ἐόντα οὐ [15] δύναται παραδέχεσθαι τὸ

[1] Τοῦ om. θι. - ἀτρεμήσαντος EGJKZQ'ικλ. - οὐ pro μὴ EHXθικλ, Ald. - μὴ om. (F, restit. alia manu) GIJKZ. - διαδεχομένου FJKZκ, Ald. - ἐώθεε Dietz. — [2] Post ὀφθ. addunt δὲ θικλ. - σφύζονται vulg. - σφίγγονται Foes ex conject. in notis, Lind. - σφύζοντος (E, al. manu σφύζονται) Xλ. - σφυζόντων (H, al. manu σφύζονται) θικ. — [3] δ' θ. - πλεύμονος θ, Dietz. - πν. vulg. - ἐσίῃ θ, Dietz. - εἰσίῃ vulg. - ἑωυτὸν vulg. - αὐτὸν θικ. — [4] ἀφαίρει J. - ἀφρίει θ. — [5] τῆς ἄνω κοιλίης θ. - φλέβας pro φρένας θι. - καὶ τοῦ στομάχου καὶ τῆς γαστρὸς κατειλημμένων θικ. — [6] δ' ὅταν θικ. - ἐσίῃ θ, Dietz. - εἰσίῃ vulg. — [7] σῶμα θκ. - ἐώθεε Dietz. - δὲ καὶ J. - ὅταν θ. - ἠὴρ Lind., Mack., Dietz. - σκέλεσι (EH, al. manu μέλεσι) Xθικλ, Ald. - ἀποκλεισθῇ.... ἀΐσσων om. J. - τ' ἔῃ θ. — [8] διεκδυῆναι vulg. - διεκδῦναι Xιλ. - διεκδύναι θ. — [9] δὲ διὰ θικ, Mack. - δὲ om. vulg. - διὰ τοῦ αἵματος ἀΐσσων λ. - ἀπὸ pro διὰ τοῦ J. — [10] ὅποι ἂν pro ὁκόταν θι. - παραρρυῇ ψυχρὸν θι. — [11] καὶ ἢν μὲν πολὺ ᾖ τὸ ῥεῦμα καὶ παχὺ θι. — [12] ψυχρῷ θι. - ἢν δ' ἔλασσον ᾖ θ. - ᾖ ι. - εἴη κ. - ἀποφράξαι GZ. - ἀναπνοιὴν FHIJKZ, Ald. - ὁπόταν θ. - σκιδνασθῇ vulg. - σκεδασθῇ EH

perd la voix et la connaissance. Les mains deviennent impuissantes et se tordent, vu que le sang demeure immobile et ne se répand pas comme à son ordinaire. Les yeux divergent parce que les veines ne reçoivent plus l'air et battent. L'écume qui sort de la bouche provient du poumon ; car, l'air n'y pénétrant pas, cet organe jette de l'écume et bouillone comme si la mort approchait. Les excréments sortent par la force de la suffocation, suffocation qui est le résultat de la pression du foie et du ventre en haut contre le diaphragme et du resserrement du conduit (*œsophage*) de l'estomac. Cette pression survient quand le souffle n'entre pas dans la bouche comme à l'ordinaire. Le malade frappe des pieds parce que l'air est intercepté dans les membres et ne peut s'en dégager à cause du phlegme. L'air, s'agitant en haut et en bas dans le sang, cause spasme et douleur; de là les coups de pieds. Tous ces accidents s'offrent à la fois quand le phlegme froid coule dans le sang, qui est chaud ; il le refroidit et l'arrête. Si le flux est abondant et épais, la mort est immédiate, car il triomphe du sang par le froid et le coagule ; s'il est moindre, dans le moment il a le dessus, interceptant la respiration ; puis, au bout de quelque temps, s'étant répandu dans les veines et mêlé au sang, qui est abondant et chaud, il a le dessous, les veines admettent l'air et la connaissance revient.

8. (*Chez les enfants très-petits les accidents sus-énumérés causent la mort, ou, s'ils sont moindres, laissent des traces, paralysie, faiblesse, contractures.*) Les enfants tout petits qui sont pris de cette affection, succombent pour la plupart, si la fluxion est considérable et que le vent souffle du midi. Les

IJKLXθικλ, Dietz. – Dans la collation de Dietz on lit : Accedunt abhinc variæ lectiones codicis 4 Vaticani ; est fragmentum unius folii vermibus corrosi. — [13] αἱ om. ικ. – ἐφλέβες (sic) pro αἱ φλέβες θ. – ἡ φρόνησις pro ἐφρόνησαν K. – ὅσα θ. – ὅσα μὲν σμικρὰ παιδία μ. – σμικρὰ om. θ. — [14] γίνονται J. – πολὺ θ. – πνεῦμα pro ῥεῦμα FG (H, al. manu ῥεῦμα) IJLZ. – φλέγμα pro ῥεῦμα K. – ἐστὶ pro ἔῃ EFIJKXZλ, Ald. – ἔῃ om. (H, al. manu ἐστὶ) θ. — [15] δύνανται Xλ. – ὑποδέχεσθαι θικ. – ἀλλὰ θ, Dietz. – παχέος FI.

φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ [1]πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει. Ἢν δὲ [2]ὀλίγον ἐὸν ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς [3]τὰς ἐπὶ θάτερα, περιγίνεται ἐπίσημα ἐόντα· ἢ γὰρ στόμα παρέσπασται ἢ ὀφθαλμὸς ἢ αὐχὴν ἢ χεὶρ, [4]ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος κρατηθῇ καὶ [5]ἀπισχνωθῇ. Τούτῳ οὖν τῷ φλεβίῳ ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν· ἐς δὲ τὸν [6]πλείονα χρόνον ὠφελέει ὡς ἐπὶ τὸ πουλύ· οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ, διὰ τόδε· ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται καὶ μέρος τι [7]συνισχναίνονται, ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον μηκέτι ὁμοίως ἐπικαταῤῥέειν· ἀσθενέστερα [8]μέντοι τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισέων. [9]Ὁκόσοισι δ' ἂν βόρειόν τε καὶ πάνυ ὀλίγον παραῤῥυῇ καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίνονται· κίνδυνος δὲ [10]ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισιν. Τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω.

9. Τοὺς δὲ πρεσβυτέρους οὐκ [11]ἀποκτείνει, ὁκόταν ἐπιγένηται, οὐδὲ διαστρέφει· αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι καὶ αἵματος μεσταὶ θερμοῦ, ἃ [12]οὐδὲ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, [13]οὐδ' ἀποψῦξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι, ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως· καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα [14]γίνεται, τά τε σημήϊα τὰ προειρημένα ἧσσον ἐπιλαμβά-

[1] Πνίγεται EXλ. — [2] ὀλίγον ἔη καὶ ἐς EHX (θ et μ, cum ἦ pro ἔῃ) κλ. – ἔη pro ἐὸν FGIJZ, Ald. – ἐπ' pro ἐς P', Ald. – ποιήσεται J. — [3] τὰ pro τὰς GHIJKZθκ. – περιγίνονται θκ. – περιγένηται IK. – περιγίνηται FZ, Ald. – τὸ στόμα λ. – παρέσπασται θκ. – παρασπᾶται vulg. – ἢ χεὶρ ἢ αὐχὴν θικ. — [4] ἢ πόθεν pro ὁκόθεν θκ. – ὁπόθεν Xλ. – αὐτὸ pro ἂν τὸ L. – αὐτὸ τὸ φλέβιον Lind. — [5] ἐπισχνανθῇ (EX, mutat. in ἀπισχνωθῇ) Q'. – ἀπισχνανθῇ (H, al. manu ἀπισχνωθῇ) P'θκλ, Lind., Mack. – ἀσθενεστέρω θ. – τουτοίου (sic) pro τοῦτο τοῦ θλ. — [6] πλείω Εθλμ. – ἐπὶ τὸ πουλὺ F, Dietz. – ἐπιτοπολὺ vulg. – Les mss. et Linden mettent le point après τόδε; vulg. le met avant. J'ai suivi les mss. — [7] ξ. Dietz. – ὥστε pro ὡς θ. – τοῦ δὲ pro τὸν δὲ τοῦ H. – τοῦ δὲ φλέγματος τὸν κατάρροον θι. – ἐπικαταρρέειν θμ. – παραῤῥέειν vulg. — [8] μέντοι ὁμοίως vulg. – ὁμοίως om. FGIJKZ. – ἐοικὸς Dietz. – κακωθεισέων KP'θ, Mack, Dietz. – κακωθεισῶν vulg. — [9] ὁκόσοισι (ὅσοισι λ) δ' ἂν (δ' οὐ pro δ' ἂν EQ'λ, Mack) τελείοισί (δ' ἀτελείοισι FGHIJKK') τε vulg. – κἂν πάνυ δ' ἀτελείοισί τε κ. – οἷσι δ' ἂν βόρειόν τε θμ. – βόρειον est la vraie leçon; comparez p. 374, ligne avant-dern. – κἂν πάνυ EP'Q'. – εἰς θ. — [10] ξυγγραφῆναι μ. – συν-

veines étant menues ne peuvent recevoir une pituite épaisse et abondante, le sang se refroidit et se coagule, et la mort survient. Mais si la fluxion, étant petite, se porte dans les deux veines ou dans celle d'un côté, le sujet survit, mais en conservant des marques de la maladie; ou la bouche est déviée, ou bien un œil, ou le cou, ou une main, suivant la veine qui, remplie par la pituite, a été surmontée et amoindrie. Nécessairement donc, en raison de cette veine, la partie du corps qui est lésée se trouve plus incomplète et plus faible; mais c'est un mal qui à la longue a de l'utilité, le sujet n'est plus exposé à l'épilepsie, une fois passée cette explosion du mal. En voici la raison : sous cette influence morbide les autres veines s'altèrent et se contractent dans une certaine proportion, de manière que, tout en recevant encore l'air, elles cessent de recevoir avec la même facilité le flux de pituite. Mais il est évident que, les veines ayant ainsi souffert, les membres doivent devenir plus faibles. Si au contraire il se fait une fluxion très-peu considérable pendant le vent du nord et du côté droit, le patient réchappe sans en conserver de marque; mais il est à craindre que le mal ne se nourrisse et ne s'accroisse avec le sujet si on ne le combat par des remèdes appropriés. C'est de cette façon ou d'une façon très-analogue que les choses se passent chez les enfants.

9. (*L'épilepsie est moins grave chez les adultes; elle reprend de la gravité chez les vieillards.*) Mais à un âge plus avancé, l'épilepsie, quand elle survient, ne cause ni la mort ni des distorsions; en effet, les veines sont amples et pleines d'un sang chaud. La pituite ne peut ni l'emporter ni refroidir le sang de manière à le coaguler; au contraire elle est promptement vaincue et se mêle au sang. De la sorte, les veines reçoivent

γραφῆναι καὶ συναυξηθῆναι θ. – τοῖς ἐπιτηδίοισι θ. – ἐπιτηδέοισι Dietz. – νῦν pro οὖν θ. – ἐγγύτατα θμ. — [11] ἀποκτένει GJKZ, Ald. – ὅταν θμ. – ἢν pro ὁκόταν J. – διαστρέφῃ E. – ἃ θμ. – διότι (ὅτι EFGHIJXZλ, Ald.) pro ἃ vulg. — [12] οὐ GHJKXZθ, Ald. – κρατῆσαι K. — [13] οὐδὲ θ, Dietz. – καταμήγνυται θμ. — [14] ἐγγίνεται μ. – ἐνγίνεται θ. – σημεῖα θμ. – πρεσβυτάτοις θ. – ὅταν θμ.

νει διὰ τὴν ἰσχύν. Τοῖσι δὲ πρεσβυτάτοισιν ὁκόταν [1]ἐπιγένηται τοῦτο τὸ νούσημα, διὰ τοῦτο ἀποκτείνει ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κεκένωνται καὶ τὸ αἷμα ὀλίγον [2]τέ ἐστι καὶ λεπτὸν καὶ ὑδαρές. Ἢν μὲν οὖν [3]πολὺ καταῤῥυῇ καὶ χειμῶνος ἔῃ καιρὸς, ἀποκτείνει· ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς καὶ ἀπέπηξε τὸ αἷμα, ἢν ἐπ' ἀμφότερα ὁ [4]κατάῤῥοος γένηται· ἢν δὲ ἐπὶ θάτερα μοῦνον, παράπληκτον ποιέει· οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν ἐπάγη, ὥστε ἀκρατέα εἶναι [5]ἐκεῖνα καθ' ἃ τὸ αἷμα διεφθάρη.

10. Ἐς δὲ τὰ δεξιὰ μᾶλλον καταῤῥέει ἢ ἐς τὰ ἀριστερὰ, ὅτι αἱ φλέβες εἰσὶ [6]κοιλότεραι καὶ πλέονες ἢ ἐν τοῖσιν ἀριστεροῖσιν· [7]ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι καὶ ἀπὸ τοῦ σπληνός. Ἐπικαταῤῥέει δὲ καὶ ἀποτήκεται τοῖσι μὲν παιδίοισι μάλιστα, [8]οἷσιν ἂν διαθερμανθῇ ἡ κεφαλὴ ἤν τε ὑπὸ ἡλίου, ἤν τε ὑπὸ πυρὸς, καὶ ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος· [9]τότε γὰρ ἀποκρίνεται τὸ φλέγμα. Ἀποτήκεται μὲν γὰρ [10]ἐκ τῆς θέρμης καὶ διαχύσιος τοῦ ἐγκεφάλου· [11]ἀποκρίνεται δὲ ἀπὸ τῆς ψύξιός τε καὶ ξυστάσιος, καὶ οὕτως ἐπικαταῤῥέει. Τοῖσι μὲν αὕτη ἡ πρόφασις γίνεται, τοῖσι δὲ καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταλάβῃ, [12]ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ εὐσθενέοντα ἔλυσε καὶ ἐχάλασεν ἐξαίφνης, ὥστε πλημμυρεῖν τὸ φλέγμα,

[1] Γένηται GJZ. – νούσημα F. – νόσημα vulg. – τόδε pro νοῦτο θμ. — [2] τε om. Xλ. – Desinit post ὑδαρὲς fragmentum in codice 24, id est λ. — [3] πουλὺ Lind., Mack, Dietz. – ᾖ (ἔῃ X, Dietz) vulg. – ἔῃ om. FGIJKZ, Ald. – ἔῃ καιρὸς om. (H, καιρὸς restit. al. manu) θμ. – ἀπέφραξε pro ἀπέπνιξε θι. — [4] κατάῤῥοος Fθ, Lind., Dietz. – κατάῤῥος vulg. – δ' ἐπὶ θ. — [5] ἐκεῖνα om. Dietz. – κεῖνα θμ. – καθὰ θ. – κατ' ἃ Dietz. – διαφθαρῇ vulg. – διεφθαρῆ (sic) L. – διεφθάρη θ, Lind., Dietz. – καταῤῥέῃ Ald. — [6] ἐπικοιλότεραί εισι θμ. – πλέονες θμ. – πλείονες vulg. – τοῖς ἀριστεροῖς θμ. — [7] ὅτι ἀπὸ τοῦ ἥπατος θ (αἵματος pro ἥπατος μ). – ηαι (sic) pro καὶ θ. – Peut-être faut-il lire ὅτι ἀπὸ τοῦ ἥπατος, αἱ δὲ ἀπὸ τοῦ σπληνός. Dietz a ajouté une négation : καὶ οὐκ ἀπὸ τοῦ σπληνός. – ἐπικαταῤῥεῖ θ. – ἐπικαταῤῥέει.... ποιέεται om. FGIJKZ. — [8] οἷσι δ' (δὲ Dietz) ἂν vulg. – οἷς ἂν θμ. – ἤν τε καὶ ἐξαπίνης vulg. – J'ai supprimé ἤν τε, sans ms. il est vrai; mais le sens l'exige. Voici le raisonnement tel qu'il résulte de la phrase suivante : la chaleur fond la pituite, le froid la sépare, et alors le flux s'opère. Il faut donc supprimer cet ἤν τε, qui a pu si facilement s'introduire, à cause des ἤν τε qui précèdent immédiatement. Avec cet ἤν τε le raisonnement ne se suit plus; car alors c'est ou le froid ou le chaud qui cause le flux de pituite, tandis que l'auteur entend que deux circonstances sont exigées pour ce flux : le chaud qui fond, le froid

l'air, l'intelligence ne se perd pas, et les signes indiqués plus haut se manifestent avec moins de force à cause de la vigueur du sujet. A un âge tout à fait avancé, l'épilepsie, si elle survient, cause la mort ou la paralysie, parce que les veines sont vides et que le sang est en petite quantité, ténu et aqueux. Si donc la fluxion se fait avec abondance et pendant l'hiver, elle tue; car elle obstrue les issues et congèle le sang, si elle s'opère des deux côtés; elle paralyse si elle ne s'opère que d'un côté. En effet, le sang, étant ténu, froid et peu abondant, ne peut vaincre la pituite, mais, vaincu lui-même, il se congèle, et les parties où le sang a subi cette altération deviennent impuissantes.

10. (*Prédispositions à l'épilepsie et causes de cette affection.*) La fluxion se fait plus souvent à droite qu'à gauche, parce que les veines sont, à droite, plus amples et plus nombreuses; en effet les veines viennent du foie et de la rate. La fluxion et la fonte d'humeur surviennent chez les enfants surtout, quand ils ont eu la tête échauffée par le soleil ou par le feu et qu'un froid subit a saisi le cerveau. Alors en effet la pituite se sépare. Elle se fond par la chaleur et la dilatation du cerveau, elle se sépare par le refroidissement et la contraction; et c'est ainsi que s'opère la fluxion. Chez les uns telle est la cause déterminante; chez d'autres, c'est quand le vent du midi, succédant subitement à des vents du nord, détend et relâche subitement le cerveau resserré et vigoureux, de sorte que la pituite abonde et que la fluxion s'opère. Une cause non apparente peut encore la pro-

qui sépare. Comparez, p. 380, l. 8, un passage qui appuie formellement cette correction. — [9] καὶ τότε vulg. - τότε γὰρ θμ. - ἀποκρίνεται, al. manu ἀποκρίσεται E. - ἀποκρίσεται Ald. — [10] ἀπὸ τῆς θερμασίης θμ. - διαχύσεως θ. — [11] ἐκκρίνεται θμ. - ὑπὸ τῆς ψύξεως θμ. - ψύχιος EX. - ἐπικαταρρεῖ θ. - τοῖσι Hθ, Lind., Mack, Dietz. - τοῖς vulg. - ἐπειδὰν καὶ θμ. - βορήϊα Dietz. - μεταλάβη θμ. - μεταβάλη vulg. - μεταβάλλη Xx. - μεταβάλλει, in marg. μεταλάβη H. — [12] συν. θ. - ἀσθενέοντα vulg. - ἀσθενέα ὄντα θμ. - εὐσθενέοντα al. manu H. - Le correcteur inconnu qui a ainsi retouché le texte de H me paraît avoir mis le doigt sur la véritable leçon. - ἐξαίφνης om. θμ. - πλημμυρέειν Dietz. - πλημμυρῆν θμ. - κατάρροπον, al. manu κατάρροον H.

καὶ οὕτω τὸν κατάῤῥοον ποιέεται. Ἐπικαταῤῥέει δὲ [1] καὶ ἐξ ἀδήλου, φόβου γινομένου, ἢν δείσῃ βοήσαντός τινος, ἢ [2] καὶ μεταξὺ κλαίων μὴ οἷός τε ἔῃ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν, οἷα γίνεται παιδίοισι πολλάκις· [3] ὅ τι δ' ἂν τούτων αὐτῷ γένηται, εὐθὺς ἔφριξε τὸ σῶμα, καὶ ἄφωνος γενόμενος τὸ πνεῦμα οὐχ εἵλκυσεν, ἀλλὰ [4] τὸ πνεῦμα ἠρέμησε, καὶ ὁ ἐγκέφαλος [5] ξυνέστη, καὶ τὸ αἷμα [6] ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἐπικατεῤῥύη τὸ φλέγμα. Τοῖσι μὲν παιδίοισιν αὗται αἱ προφάσιες τῆς ἐπιλήψιός εἰσι τὴν ἀρχήν. Τοῖσι δὲ πρεσβύτῃσιν [7] ὁ χειμὼν πολεμιώτατός ἐστιν· ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται καὶ ῥιγώσῃ, [8] ἢ καὶ ἐκ ψύχεος εἰς ἀλέην ἔλθῃ καὶ παρὰ πυρὶ καθίσῃ, [9] τωὐτὸ τοῦτο πάσχει, καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. Κίνδυνος δὲ πολὺς καὶ ἦρος [10] παθέειν τωὐτὸ τοῦτο, ἢν ἡλιωθῇ ἡ κεφαλή· τοῦ δὲ θέρεος ἥκιστα, οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι. Ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου [11] ξύντροφος ἔῃ, ἀλλ' ἢ ὀλίγους ἢ οὐδένα· αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος, καὶ ὁ ἐγκέφαλος συνέστηκε καὶ ἐστὶ [12] στρυφνὸς, ὥστε οὐκ ἐπικαταῤῥέει ἐπὶ τὰς φλέβας· ἢν [13] δ' ἐπικαταῤῥύῃ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος.

11. Ὧ δὲ ἀπὸ παιδίου συνηύξηται καὶ [14] συντέτροφεν, ἔθος πεποίηται ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν καὶ ἐπίλη-

[1] Καὶ om. Lind. – ἢν δείσῃ μὲν ἢ βοήσαντος FHJK, Lind., Mack, Dietz. – ἢν δείσημεν ἢ βοήσαντος vulg. – καὶ ἢν δείσῃ βοήσαντος θμ. — [2] καὶ om. (H, restit. al. manu) θμ. – ἢ θμ. — [3] ὅ τι ἂν vulg. – ὅτι δ' ἂν θμ. – Ante τούτων addunt ἀπὸ EG (H, al. manu) IJKZ. – τουτέων Mack. – αὐτῷ θμ, Lind. – αὐτῶν vulg. – γίνεται vulg. (H, al. manu γίνηται). – γίνηται FIKZ, Frob., Mack. – γένηται θμ, Dietz. – ἔφιξε (sic) Ald. — [4] τὸ om. J. – ἠρέμισε vulg. – ἠρέμησε EJKX, Mack. – ἠρέμασε θμ. — [5] συνέστη θ. — [6] ἐστάθη θμ. – ἐπικαταῤῥέει Mack. – ἐπικαταῤῥύει Ald. – ἐπιληψίης θμ. — [7] ὁ θμ. – ὁ om. vulg. – χιμὼν θ. – ἐμψύχει pro ἐν ψ. H. – ῥιγώσει FG, Ald. — [8] ἢ θ. – ἢ om. vulg. – ψύξεως X. – ἐς Lind., Dietz. – πυρὶ E (H, al. manu πῦρ) Xκ. – πῦρ vulg. – παρὰ πῦρ πολὺ θ. – πολὺ pro πυρὶ ι. – κατίσῃ Dietz. – καθίσῃ om. (F, restit. al. manu) θικ. — [9] καὶ αὐτὸ τοῦτο vulg. – τὸ αὐτὸ τοῦτο sine καὶ EFGIJKZθ. – ταυτὸ τοῦτο sine καὶ L, Lind. – τωὐτὸ τοῦτο sine καὶ HX. – τὸ τοῦτο sine καὶ ικ. – πουλὺς Lind., Mack, Dietz. — [10] παθεῖν θ. – παραθέειν F (G, gloss. παρατρέχειν) IJKZ. – τωὐτὸ (H, al. manu τὸ αὐτὸ) θ, Dietz. – ταὐτὸ P′Q′, Lind., Mack. – τὸ αὐτὸ vulg. – ἡλιασθῇ Q′. – ἡλιαθῇ P′, Mack. – τὸ δὲ θέρος θμ. – δὲ om. X. – ἐξαπιναῖαι EX. – ἐξάπινοι I. – ὅταν θ. — [11] ξ. θ, Dietz. – σ. vulg. – ἢ θμ. – αἵματος μεσταὶ πολλοῦ εἰσιν θ. – αἵματος μεσταί εἰσι πολλοῦ μ. —

duire, par exemple une crainte, si l'enfant a peur de quelqu'un qui crie, ou encore l'impossibilité de reprendre promptement haleine dans l'intervalle de cris et de pleurs, ce qui arrive souvent à cet âge. Sous l'influence d'une quelconque de ces causes, le corps est saisi d'un froid soudain, le sujet, perdant la voix, ne respire plus; dès lors le souffle demeure en repos, le cerveau se resserre, le sang s'arrête, et ainsi la pituite se sépare et s'écoule. Ce sont là chez les enfants les causes déterminantes de l'épilepsie au commencement. Chez les personnes âgées l'hiver est la saison la plus défavorable; en effet, quand ces personnes, s'étant échauffé la tête et le cerveau près d'un grand feu, viennent à l'air libre et sont saisies du froid, ou réciproquement si elles passent du froid à un lieu couvert et se mettent auprès du feu, elles éprouvent les mêmes accidents et deviennent épileptiques comme il a été dit plus haut. Le danger est grand encore de contracter cette maladie pendant le printemps, si la tête est frappée par le soleil. C'est en été que le risque est le moindre, vu qu'alors il n'y a point de brusque changement. Passé vingt ans on n'est guère attaqué de cette maladie, à moins que le germe n'en date de l'enfance; et elle ne survient que chez peu ou point de sujets; alors les veines sont pleines de sang, le cerveau est consistant et compact, de sorte qu'il ne se fait point de fluxion dans les veines; ou, s'il s'en fait, la fluxion ne triomphe pas du sang, qui est abondant et chaud.

11. (*L'épilepsie est due à une accumulation de liquide dans la tête; c'est ce que prouve l'ouverture du crâne des chèvres épileptiques. Argument tiré de ce fait contre ceux qui disent que cette maladie est de nature divine.*) Mais celui chez qui le germe date de l'enfance et a grandi, prend l'habitude d'éprouver ces accidents aux changements de vents. C'est alors la plu-

[12] στριφνὸς HJK. - στιφρὸς θμ. - ὥστ' θ. - ἐπικαταῤῥυῇ Lind. - ἐς τὰς φλέβας ταύτας θμ. — [13] δὲ F, Dietz. - ἐπικαταρροίη X. - καταχρατέει Hιx. - χρατέει θ. - ἐόντος χαὶ θερμοῦ Hθμ. - ξυνηύξηται Dietz. — [14] συνέτροφεν vulg. - συντέτροφεν EHx, Mack. - συντέθραπται θι. - πεποίηχεν vulg. - πεποίηται E Hθιx.

στου. Ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη καὶ [1] ἐν μέζονι καὶ ἐν ἐλάσσονι· οὔ γὰρ ἀλλοιοῦται οὔτε διὰ φύσιν οὔτε δι' ἀνάγκην· σῶμα δὲ [2] οὐδέκοτε τωὐτὸ οὐδενὸς οὔτε κατὰ φύσιν οὔθ' ὑπ' ἀνάγκης, τὸ μὲν γὰρ διακρίνεται ἐς πάντα, τὸ δὲ ξυμμίσγεται πρὸς ἅπαντα. Ἢν μὲν οὖν [3] ἐς ἄρσενα τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων τύχῃ, αὔξεται κατὰ τὸ ὑπάρχον, καὶ γίνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχὰς καὶ [4] τὸ σῶμα ἰσχυροὶ, ἢν μὴ ὑπὸ τῆς διαίτης βλαβῶσι τῆς ἔπειτα. Ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν ἀποκριθῇ, τὸ δὲ ἀπὸ τῆς γυναικὸς θῆλυ, καὶ ἐπικρατήσῃ τὸ ἄρσεν, [5] ἡ μὲν ψυχὴ προσμίσγεται πρὸς τὴν ἰσχυροτέρην ἡ ἀσθενεστέρη, οὐ γὰρ ἔχει [6] πρὸς ὅ τι ὁμοτροπώτερον ἀποχωρήσει τῶν παρεόντων· [7] προσδέχεται γὰρ ἡ μικρὴ τὴν μέζω καὶ ἡ [8] μέζων τὴν ἐλάσσονα· κοινῇ δὲ τῶν ὑπαρχόντων κρατέουσι· τὸ δὲ σῶμα τὸ μὲν ἄρσεν αὔξεται, τὸ δὲ θῆλυ μειοῦται καὶ διακρίνεται [9] ἐς ἄλλην μοίρην. Καὶ οὗτοι ἧσσον μὲν τῶν προτέρων λαμπροὶ, ὅμως δὲ, διότι ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησεν, ἀνδρεῖοι γίνονται, καὶ [10] τοὔνομα τοῦτο δικαίως ἔχουσιν. Ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς θῆλυ, [11] κρατήσῃ δὲ τὸ ἄρσεν, αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ· τὸ δὲ μειοῦται· γίνονται δὲ οὗτοι ἀνδρόγυνοι καὶ καλέονται τοῦτο ὀρθῶς. [12] Τρεῖς μὲν οὖν αὗται γενέσιες τῶν ἀνδρῶν, διάφοροι δὲ πρὸς τὸ μᾶλλον καὶ ἧσσον τὸ τοιοῦτον εἶναι διὰ τὴν σύγκρησιν τοῦ ὕδατος τῶν [13] μερέων καὶ τροφὰς καὶ παιδεύσιας καὶ συνηθείας. Δηλώσω δὲ προϊόντι τῷ λόγῳ καὶ περὶ τούτων.

29. Τὸ δὲ θῆλυ γίνεται κατὰ τὸν [14] αὐτὸν τρόπον· ἢν μὲν ἀπ'

[1] Ἐν (H, al. manu) θ, Mack. – ἐν om. vulg. – οὔτε.... οὐδενὸς om. GIJ. – διὰ, al. manu κατὰ H. – κατὰ pro διὰ EIKP'Q'. – ὑπ' ἀνάγκης E (H, al. manu) KP'Q'. — [2] οὐδέποτε EHKθ. – τὸ αὐτὸ K. – οὔτε δι' ἀνάγκην EHKQ'. – οὔτε ὑπ' οὐδενὸς pro οὔθ' ὑπ' ἀνάγκης θ. – οὔτε pro οὔθ' I. – τὸ μὲν γὰρ διακρίνεται ἐς παντὰ, τὸ δὲ συνμίσγεται πρὸς ἅπαντα θ. – τὸ (τῷ Zwing. in marg., Lind., Mack) μὲν διακρίνεσθαι ἐς πάντα, τὸ (τῷ Zwing., Lind., Mack) δὲ ξυμμίσγεσθαι πρὸς ἅπαντα vulg. — [3] ἐς θ. – ἐς om. vulg. – ἀποχρηθέντα I. – ἀμφοτέρων om. θ. — [4] τὰ σώματα θ. – ὑπὸ θ. – ἀπὸ vulg. – τῆς EHθ. – τῆς om. vulg. – βλαφθῶσι EJKP'Q', Lind., Mack. — [5] ἡ μὲν ψυχὴ θ, Mack. – ἢν μὲν τύχῃ pro ἡ μὲν ψ. vulg. – ἡ ἀσθενεστέρη θ (ἡ Zwing., Mack). – ἡ ἀσθενεστέρην vulg. — [6] πρὸς ὅ τι θ. – πρός τι vulg. – ὁμοτροπώτερον θ. – ὁμοτροφώτερον vulg. – ἀποχωρήσῃ θ. – ἀποχωρήσειν EH. — [7] προσδέεται J. – προσέρχεται γὰρ καὶ ἡ μικρὴ πρὸς τὴν μέζω, καὶ ἡ μέζω πρὸς τὴν ἐλάσσονα θ. – μέζω EHK. – μείζω vulg. — [8] μέζω EH. – μείζω vulg. – μείζων Zwing., Lind., Mack. – κοινὴ L –

diffère en chacun. L'âme est toujours semblable et dans le plus grand et dans le plus petit ; car elle ne change ni naturellement ni artificiellement. Mais le corps n'est jamais en rien le même, soit naturellement soit artificiellement : car il se résout en tout, et se mêle à tout. Si les corps sécrétés reçoivent des deux côtés la part mâle, ils croissent sur le fonds existant, et il en naît des hommes à l'âme claire, au corps vigoureux, à moins qu'ils ne soient détériorés par le régime ultérieur. Si, l'homme fournissant le mâle et la femme le femelle, le mâle l'emporte, l'âme la plus faible se joint à la plus forte, vu qu'elle n'a, dans ce qui est là, rien pour quoi elle ait plus d'affinité ; car la petite reçoit la grande, et la grande la petite ; réunies elles triomphent de la matière existante ; le corps mâle croît, mais le femelle décroît et passe à une autre destinée ; et ces hommes sont moins brillants que les précédents ; néanmoins, comme le mâle venant de l'homme a triomphé, ils sont virils, et cette épithète leur est justement attribuée. Si, le mâle étant fourni par la femme et le femelle par l'homme, le mâle l'emporte, la croissance se fait de la même façon que dans le cas précédent, mais le mâle décroît ; ces hommes sont androgynes (*moitié hommes, moitié femmes*), et ils portent justement cette qualification. Telles sont donc les trois générations des hommes, différant en ce qu'ils ont plus ou moins le caractère viril suivant la composition des parties de l'eau, suivant les aliments, l'éducation et les habitudes. Dans la suite du discours je traiterai aussi de ces objets.

29. (*Trois espèces de femmes suivant la prévalence du principe mâle ou du principe femelle.*) Les femmes sont engen-

τὸ δὴ σῶμα K'. — [9] ἐς E, Lind., Mack. - εἰς vulg. - μοίραν θ. - ἧσσον μὲν EHIJθ. - μὲν ἧσσον vulg. - προτέρων θ. - πρότερον vulg. — [10] τὸ ὄνομα Kθ. - τὸ οὔνομα H. — [11] κρατήσει HK. - ἀνδρόγυναι (E, οι al. manu) FGHJK, Ald. - καλοῦνται θ. — [12] τρὶς θ. - οὖν om. θ. - γενέσεις θ. - ἀνδρῶν θ, Mack. - ἀνθρώπων vulg. - τοιοῦτοι pro τὸ τοιοῦτον θ. - σύγκρισιν EGIJ. - σύγκρασιν K. — [13] μητρέων Zwing. in marg. - αἱ pro καὶ θ. — [14] αὐτὸν GKθ. - ὠυτὸν vulg. - ἀπὸ θ. - γίνεται θ. - γίνονται vulg.

ἀμφοτέρων θῆλυ ἀποκριθῇ, θηλυκώτατα καὶ εὐφυέστατα γίνεται· ἢν [1] δὲ τὸ μὲν ἀπὸ τῆς γυναικὸς θῆλυ, τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, [2] αὔξεται τὸν αὐτὸν τρόπον, καὶ θρασύτεραι μὲν τῶν πρόσθεν, ὅμως δὲ κόσμιαι καὶ αὐταί· [3] ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς θῆλυ, τὸ [4] δ' ἀπὸ τῆς γυναικὸς ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, καὶ γίνονται τολμηρότεραι τῶν προτέρων καὶ ἀνδρεῖαι ὀνομάζονται. Εἰ δέ τις [5] ἀπιστοίη, ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, [6] ἀφορῶν ἐς ἄνθρακας, κεκαυμένους πρὸς μὴ κεκαυμένους προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδοὺς, ὅμοιον [7] τὸ σῶμα πάντες παρασχήσονται καὶ οὐ διάδηλος ἕτερος τοῦ ἑτέρου, ἀλλ' ἐν ὁκοίῳ σώματι ζωπυρέονται, [8] τοιοῦτον δὴ τὸ πᾶν ἔσται· ὁκόταν δ' ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφὴν, διακρίνονται ἐς τὸ ἄδηλον· τοῦτο καὶ ἀνθρωπίνη ψυχὴ πάσχει.

30. Περὶ δὲ τῶν διδύμων [9] γινομένων ὁ λόγος ὧδε δηλώσει. Τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις αἰτίη τῶν μητρέων· ἢν [10] γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκωσι κατὰ τὸ στόμα, [11] καὶ ἀναχάσκωσιν ὁμοίως, καὶ ξηραίνωνται ἀπὸ τῆς καθάρσιος, δύνανται τρέφειν, ἢν τὰ τοῦ ἀνδρὸς [12] ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι· οὕτω γὰρ ἀνάγκη σχίδνασθαι [13] ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. Ἢν μὲν οὖν πουλὺ [14] ἀπ' ἀμφοτέρων τὸ σπέρμα καὶ ἰσχυρὸν ἀποκριθῇ, δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσιν αὔξεσθαι· κρατέει γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. Ἢν δέ [15] κως ἄλλως γένηται, οὐ γίνεται δίδυμα. Ὁκόταν

[1] Δότε (sic) pro δὲ τὸ θ. – κρατήσει EHK. — [2] αὔξ. τ. α. τρ. καὶ om. G (H, restit. al. manu) Jθ, Ald. – καὶ om. I. – αὗται θ. — [3] ἢν δ' ἢν τὸ μὲν vulg. – ἢν δ' αὖ (ἢ vel αὖ Zwing. in marg.) τὸ μὲν EIJKP', Lind., Mack. – ἢν μὲν ἀπὸ, al. manu ἢν δ' αὖ τὸ μὲν H. – ἢν δ' αὐτὸ μὲν Q'. – ἢν δὲ τὸ μὲν θ. — [4] δὲ Eθ. – ἄρρεν GI, Ald. – κρατήσει EHK. – αὐτὸν K. – ὠυτὸν vulg. – καὶ om., restit. al. manu H. – γίνονται δὲ sine καὶ θ. – Mack dit que dans θ manque αὔξεται τ. α. τρ. καί; mais dans ma collation l'absence de αὔξεται et de καὶ est seule indiquée. – ἄνδριαι θ. — [5] ἀπιστέει EHIJK, Zwing. in marg., Lind., Mack. – ἀπιστεῖ θ. – ἀπισταίη G, Ald., Frob., Zwing. – προσμίγεσθαι HIK. – συνμίσγεσθαι θ. – φύσει pro ψυχῇ θ. — [6] ἀφορῶν ἐς θ. – ἄφρων ἐστιν pro ἀφ. ἐς vulg. – μὴ om. vulg. – J'ai ajouté, sans mss., la négation, qui me paraît indispensable : μὴ κεκαυμένους est opposé à ἀσθενέας. – προσβάλων (sic) E. – ἐμβάλλων K. — [7] τὸ σῶμα ἅπαν παρεσχηκότος, καὶ οὐ διάδηλον ἕτερον τοῦ στεροῦ (sic) θ. – ὁποίω θ. – ζωπυροῦνται θ. — [8] τοιοῦτον δὴ τὸ πᾶν ἔσται θ. – τοιοῦτον ἀπὸ πάντων ἔσται vulg. — [9] γιν. Eθ. – γεν. vulg. – ὧδε ὁ λ. E (H, al. manu, erat prius ὧδε λόγος) Kθ. – Les anciens regardaient la matrice comme double, c'est pour cela qu'ils disaient, au pluriel, *les ma-*

drées de la même façon : si le femelle est fourni des deux côtés, la femme est aussi femme et d'aussi belle nature que possible. Si, le femelle étant fourni par la femme et le mâle par l'homme, le femelle l'emporte, la croissance se fait de la même façon ; mais ces femmes sont plus hardies que les précédentes, tout en étant, elles aussi, gracieuses. Si, le femelle étant fourni par l'homme et le mâle par la femme, le femelle l'emporte, la croissance se fait de la même façon, et ces femmes sont plus audacieuses que les précédentes, on les nomme viriles. Si vous doutez que l'âme se mêle à l'âme, vous n'avez qu'à considérer des charbons : mettez des charbons allumés près de charbons non allumés, de forts auprès de faibles, donnez-leur de l'aliment, et tous vous présenteront une substance semblable, aucun ne se distinguera des autres, et le tout sera tel que le corps où ils ont pris feu; quand ils auront consumé l'aliment existant, ils se résoudront en obscurité. C'est ce qu'éprouve l'âme humaine.

30. (*Des jumeaux; de leur ressemblance.*) Voici l'explication de la formation des jumeaux : En général ce qui en est la cause, c'est la disposition des matrices (*voyez note* 9); si elles sont configurées, par rapport à l'orifice, semblablement des deux côtés, si elles s'ouvrent semblablement et semblablement se dessèchent après les règles, elles peuvent nourrir, pourvu qu'elles reçoivent la semence de l'homme de manière à ce qu'elle se divise aussitôt; car, en ce cas, la semence se partage également entre les deux matrices. Donc, une semence abondante et vigoureuse, étant sécrétée par les deux, peut croître dans l'une et l'autre matrice; car elle triomphe de la nourriture qui y arrive. De toute autre façon,

trices. — [10] μὲν pro γὰρ FGIJ. - ἀμφοτέροσε J. - πεφύκωσι θ. - πεφύκασι vulg. — [11] καὶ ᾖν vulg. - ἣν om. θ. - ἀναχάσκωσιν θ, (Zwing. in marg., vel χανῶσιν), Mack. - ἀνάσχωσιν vulg. - ὁμοίως om. θ. - ξηραίνονται EGJ, Ald. — [12] σ. EHIJKθ. - οὕτω γ. ἀν. σκ. om. θ. — [13] ἐς θ. - πουλὺ EHIJK. - πολὺ vulg. — [14] ἐπ' vulg. - ἀπ' EGHIJKθ, Mack. — [15] πως EGIJKθ. - πω H. - οὐ θ, Foes in not., Lind., Mack. - οὐ om. vulg. - γίνεται θ. - γίνονται vulg.

μὲν οὖν [1]ἄρσενα ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν [2]ἀμφοτέροισιν ἄρσενα γεννᾶται· ὁκόταν δὲ θήλεα ἀπ' ἀμφοτέρων, θήλεα γίνεται· [3]ὁκόταν δὲ τὸ μὲν θῆλυ, τὸ δὲ ἄρσεν, ὁκότερον ἂν ἑκατέρου κρατήσῃ, τοιοῦτον ἐπαύξεται. Ὅμοια δὲ ἀλλήλοισι τὰ δίδυμα διὰ [4]τόδε γίνεται, ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία ἐν οἷσιν αὔξεται, [5]ἔπειτα ἅμα ἀπεκρίθη, ἔπειτα τῇσιν αὐτῇσι τροφῇσιν [6]αὔξεται, γόνιμά τε ἀνάγεται ἅμα ἐς φάος.

31. Ἐπίγονα δὲ τῷδε τῷ τρόπῳ γίνεται· [7]ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσει ἔωσιν, ἥ τε γυνὴ τοιαύτη, τό τε σπέρμα ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, [8]οὐκ ἔτι γίνεται ἐν τῇσι μήτρῃσιν ὑγρασίη οὐδεμίη, ἥτις τὸ ἐπεισπῖπτον σπέρμα κρατήσει· διὰ τοῦτο [9]ξυνίσταται ἐξ ἀρχῆς καὶ ζώει, διατελέειν δὲ οὐ δύναται, ἀλλὰ [10]καὶ τὸ ὑπάρχον προσδιαφθείρει, διότι οὐ ταὐτὰ ξυμφέρει ἀμφοῖν.

32. Ὕδατος [11]δὲ τὸ λεπτότατον καὶ πυρὸς τὸ ἀραιότατον σύγκρησιν λαβόντα ἐν ἀνθρώπου [12]σώματι ὑγιεινοτάτην ἕξιν ἀποδεικνύει διὰ τάδε, ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσιν [13]οὐκ ἐπιπληροῦται τὸ ἔσχατον οὐδέτερον, οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατον [14]ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν, οὔτε τὸ πῦρ ἐν [15]τῇσι τοῦ πυρὸς, οὔτε τῶν ἡλικιέων ἐν τῇσι μεταστάσεσιν, οὔτε τῶν σιτίων καὶ ποτῶν ἐν τοῖσι διαιτήμασι. Δύνανται γὰρ [16]γένεσίν τε πλείστην δέξασθαι ἀμφότερα καὶ πλησμονήν· χαλκὸς ὁ μαλακώτατός [17]τε καὶ ἀραιότατος πλείστην χρῆσιν δέχεται καὶ γίνεται

[1] Ἄρσενα EHIJK. – ἄρσεν vulg. — [2] ἀμφοτέροις θ. – ἀμφοτέρῃσι Zwing. – γεννᾶσθαι vulg. – Lisez γεννᾶται, comme plus bas γίνεται. — [3] ὅταν θ. – ἦν (H, al. manu ἂν) θ. – ἑκατέρων HIJKθ. – ἐπαύξεται θ, Mack. – ἐπαύξει vulg. – ἐπάξει (E, al. manu ἐπαύξει) K. — [4] τάδε θ. – τὰ χορια (sic) ὁμοῖα pro ἴ. τὰ χωρία θ. – ἴσα om., restit. al. manu H. – οἷσιν θ. – οἷς vulg. — [5] ἔπειτα.... αὔξεται om. J. – ὅτι καὶ ἅμα vulg. – ὅτι καὶ om. (H, restit. al. manu) θ. — [6] αὔξεται om., restit. al. manu H. – γίνεται pro ἀνάγεται θ. – ἅμα θ. – ἅμα om. vulg. – εἰς EH. — [7] ὅταν θ. – θερμαί τε καὶ θ. – θερμὸν καὶ ξηρὸν K. — [8] οὐκ ἐπιγίνεται θ. – οὐδεμία Eθ. – εἰσπίπτον θ. – κρατήσει K. – κρατήσῃ vulg. — [9] σ. EHIJKθ. – ζώη H. – διατελεῖν θ. — [10] καὶ om. θ. – διαφορει (sic) θ. – οὔτ' αὐτὰ H, Ald. – ταῦτα θ. – συμφ. EKθ. – αὐτοῖν pro ἀμφοῖν θ. — [11] δὲ om. θ. – τε pro δὲ EGHIJK, Ald., Zwing. – τὸ om. HIJ. – λεπτότητι al. manu H. – πυὸς (sic) pro πυρὸς E. – σύγκρισιν Gθ. – σύγκρασιν EHIJK. — [12] σώματι ὑγιεῖ ὑγιεινότα (sic) τὴν ἕξιν θ. – ἀποδεικνύειν (J, al. manu) K. – διότι θ. – τῶν ὡρ. τοῦ ἐνιαυτοῦ θ. — [13] οὐκ.... οὐδέτερον θ. – οὐκ.... οὐδέτερον om. vulg. — [14] ἐν θ. – ἐστιν pro ἐν vulg. — [15] τῇσι EHIJθ, Zwing., Lind., Mack. – τοῖς vulg. – ἡλικιῶν θ. – ἡλικιέων (Zwing., χωρέων in marg.), Foes in not.,

il ne se forme pas de jumeaux. Quand le mâle est fourni par les deux, nécessairement des garçons sont engendrés des deux côtés; quand le femelle est fourni par les deux, ce sont des filles; quand la sécrétion est en partie mâle, en partie femelle, la croissance se fait suivant le principe qui l'emporte. Les jumeaux se ressemblent; voici pourquoi : d'abord les lieux où ils croissent sont égaux, secondement ils ont été sécrétés ensemble, puis ils reçoivent mêmes aliments et sont produits en même temps à la lumière.

31. (*De la superfétation.*) Les superfétations se font ainsi : quand les matrices sont naturellement chaudes et sèches, que la femme est chaude aussi et sèche et que la semence arrive sèche et chaude, il n'y a plus dans les matrices aucune humidité qui surmonte la semence survenante; aussi elle se coagule d'abord et vit, mais elle ne peut persister et entraîne l'avortement du fœtus préexistant, attendu que les mêmes choses ne conviennent pas à tous les deux.

32. (*De la constitution du corps, ou santé corporelle, suivant les proportions variables et les qualités de l'eau et du feu constituants.*) L'eau la plus ténue et le feu le plus léger se combinant dans le corps de l'homme forment la constitution la plus saine; et voici pourquoi : aucun de ces deux principes n'atteint son extrémité, ni l'eau quand l'eau afflue, ni le feu quand le feu afflue, soit dans les plus grands changements des saisons, soit dans les mutations des âges, soit dans le régime suivi pour les aliments et les boissons. Ces deux principes sont susceptibles de la plus ample génération et de la plénitude la plus étendue. Le cuivre le plus mou et le moins compact est susceptible du mélange le plus ample et devient le plus beau. Il en est de même quand l'eau la plus ténue et

Lind., Mack. – μικρέων vulg. – σίτων θ. – καὶ τῶν ποτῶν E. – δύναται Zwing., Lind. — [16] κένωσιν Lind. – κίνησιν Zwing. in marg., Mack. – Mack dit que θ a κίνησιν; mais ma collation porte expressément γένεσιν. – τε καὶ πλείστην γενέσθαι ἀμφ. καὶ πλεισμονὴν θ. — [17] τε om. EHIJ. – κρίσιν EGHIJK. – κάλλιστος θ. – κάλλιστον vulg.

κάλλιστος· καὶ ὕδατος τὸ λεπτότατον καὶ πυρὸς τὸ ἀραιότατον [1] σύγκρησιν λαμβάνοντα ὡσαύτως. Οἱ μὲν οὖν ταύτην ἔχοντες τὴν φύσιν ὑγιαίνοντες διατελέουσι τὸν πάντα χρόνον, μέχρι τεσσαράκοντα ἐτέων, οἱ δὲ καὶ μέχρι γήρω τοῦ ἐσχάτου· ὁκόσοι δ' [2] ἂν ληφθῶσιν ὑπὸ νουσήματός τινος ὑπὲρ τεσσαράκοντα ἔτεα, οὐ μάλα ἀποθνήσκουσιν. Ὁκόσα δὲ τῶν σωμάτων [3] σύγκρησιν λαμβάνει πυρὸς τοῦ ἰσχυροτάτου καὶ ὕδατος τοῦ πυκνοτάτου, ἰσχυρὰ μὲν καὶ ἐῤῥωμένα τὰ σώματα γίνεται, φυλακῆς δὲ [4] πολλῆς δεόμενα· μεγάλας γὰρ τὰς μεταβολὰς ἔχει ἐπ' ἀμφότερα, καὶ ἐν τῇσι τοῦ ὕδατος [5] ἐφόδοισιν ἐς νουσήματα πίπτουσι, καὶ [6] ἐν τῇσι τοῦ πυρὸς ὡσαύτως. Τοῖσιν οὖν διαιτήμασι ξυμφέρει χρέεσθαι τὸν τοιοῦτον πρὸς τὰς ὥρας τοῦ ἔτεος ἐναντιεύμενον, ὕδατος μὲν ἐφόδου γινομένης, [7] τοῖσι πρὸς πυρὸς, πυρὸς δὲ ἐφόδου γενομένης, τοῖσι πρὸς ὕδατος [8] χρέεσθαι, κατὰ μικρὸν μεθιστάντα μετὰ τῆς ὥρης. Ὕδατος [9] δὲ τοῦ παχυτάτου καὶ πυρὸς τοῦ λεπτοτάτου ξυγκρηθέντων ἐν τῷ σώματι, τοιαῦτα [10] ξυμβαίνει, ἐξ ὧν διαγινώσκειν χρὴ ψυχρὴν φύσιν καὶ ὑγρήν· ταῦτα [11] τὰ σώματα ἐν τῷ χειμῶνι νοσερώτερα [12] ἢ ἐν τῷ θέρει, [13] καὶ ἐν τῷ ἦρι ἢ ἐν τῷ φθινοπώρῳ. Τῶν ἡλικιέων, ὑγιηρότατοι τῶν τοιούτων οἱ παῖδες, δεύτερον νεηνίσκοι, νοσερώτατοι δὲ οἱ πρεσβύτατοι καὶ οἱ [14] ἔγγιστα, καὶ ταχέως γηράσκουσιν αἱ φύσιες αὗται. Διαιτῆσθαι δὲ [15] ξυμφέρει τοῖσι τοιούτοισιν ὁκόσα θερμαίνει καὶ ξηραίνει καὶ πόνοισι καὶ σιτίοισι, καὶ πρὸς τὰ ἔξω τοῦ σώματος μᾶλλον [16] τοὺς πόνους ποιέεσθαι ἢ πρὸς τὰ εἴσω. Ἢν δὲ λάβῃ πυρός τε τὸ [17] ὑγρότατον καὶ ὕδατος

[1] Σ. λαμϐ. om. θ. – σύγκρασιν EHIJK. – οὖν om. K. – ἔχοντες ταύτην sine τὴν θ. – D'après Mack οἱ μὲν manque dans θ; ma collation a ces mots. – τὸν om. θ. — [2] ἦν, al. manu ἂν H. – λημφθῶσιν Ald. – ὑπό τινος νοσ. θ. – νοσ. EHIJK. – ἔτη E. – ἀποθνήσκουσιν θ. – διαφυγγάνουσιν vulg. — [3] σύγκρασιν EGHIJK. — [4] πολῆς K. — [5] ἐπόδοισι, al. manu ἐπωδοῖσιν H. – ἐπωδοῖσιν EIJ. – ἐπωδῆσιν K. – ἐποδοῖσιν Ald. – Remarquez l'ionisme ἐπόδοισι; la douce au lieu de l'aspirée est si rare dans les mss. hippocratiques qu'on ne peut s'en autoriser. Cependant je note cet exemple. – ἐς νοσ., al. manu ἐπ' ἀμφότερα H. – ἐπ' ἀμφότερα E (K, in marg. eadem manu ἐς νοσήματα) P'. – νοσ. IJθ. — [6] ἔν τε sine καὶ θ. – συμφ. EHIJKθ. – ἐναντιούμενον θ. – ἐφόδους GI. – γιγν. EHK. — [7] τοῖσι.... γενομένης L, Zwing. in marg., Lind., Mack. – τοῖσι.... γενομένης om. vulg. — [8] χρέεσθαι (sic) θ. – μεθιστάντα μετὰ τῆς ὥρης θ. – μεθιστάντα. Τὰ μὲν ἀπὸ τῆς ὥρης vulg. – μεθιστάντα μὲν τὰ ἀπὸ τῆς ὥρης EHK. – μεθιστᾶν. Τὰ μὲν τὰ ἀπὸ τῆς ὥρης FGJ, Ald. – μεθιστᾶντα μὲν τὰ ἀπὸ τῆς ὥρης I. – μεθιστάντα τὰ ἀπὸ τῆς ὥρης Zwing., Mack. — [9] δὲ

le feu le plus léger se combinent. Donc ceux qui ont une telle nature conservent une santé inaltérable les uns jusqu'à quarante ans, les autres jusqu'à la dernière vieillesse; et ceux qui sont saisis de quelque maladie au-delà de quarante ans n'y succombent guère. Les individus dont la constitution offre la combinaison du feu le plus fort et de l'eau la plus dense ont, à la vérité, des corps vigoureux et solides, mais ils ont besoin de beaucoup de précautions; car ils sont sujets à des changements excessifs en un sens ou en l'autre; et, lorsque l'eau afflue, ils deviennent malades, comme aussi lorsque le feu afflue. Il convient à des personnes ainsi constituées de suivre un régime qui aille contre les influences de la saison; quand l'eau afflue, user d'un régime igné; quand le feu afflue, d'un régime aqueux, en changeant peu à peu avec la saison. Quand la combinaison dans le corps est de l'eau la plus épaisse et du feu le plus ténu, il se manifeste tels signes qui indiquent une nature froide et humide; ces personnes sont plus maladives en hiver qu'en été, au printemps qu'à l'automne; quant à l'âge, elles se portent le mieux dans l'enfance, puis dans la jeunesse, et le plus mal dans la vieillesse et à l'âge approchant; ces constitutions vieillissent vite. Il convient de diriger leur régime vers ce qui échauffe et sèche, soit exercices soit aliments; et les exercices s'adresseront plutôt à l'extérieur du corps qu'à l'intérieur. Quand la combinaison dans le corps est du feu le plus humide et de l'eau la plus dense, on reconnaîtra une nature humide et chaude à ces

Eθ. - τε vulg. - συγκρηθέντων EK. - συνκραθέντων θ. - συγκριθέντων IJ. - τῷ om. θ. — [10] σ. EHIJK. — [11] τῷ σώματι, al. manu τὰ σώματα E. - νοσερώτατα θ. — [12] μὲν pro ἢ ἐν GI (J, al. manu ἐν). - ἐν om. EHKP'. — [13] ἢ pro καὶ θ. - ἐν om. EHK. - ηριν (sic) θ. - ἡλικιῶν Kθ. - ὑγιηρόταται (E, al. manu οι) H. - ὑγιηρότεροι FG. - ὑγιεινότεροι J. - δεύτερον Hθ. - δεύτεροι vulg. - νεηνίσκοι EHKθ. - νεανίσκοι vulg. — [14] ἔγγυστα K. - φύσεις J. - διαιτῆσθαι EHIK. - διαιτεῖσθαι vulg. - διαιτᾶσθαι θ. - δὲ om. θ. — [15] σ. EHK. - ὅσα θ. - συμφέρει pro θερμαίνει (E, θερμ. al. manu) FGHIJK. - ξηραίνειν al. manu J. - σίτοισι θ. — [16] τοὺς πόνους JLθ, Zwing. in marg., Lind., Mack. - τοῦ πόνου vulg. - εἰ δὲ λάβοι θ. — [17] ἰσχυρότατον L. - σύγκρησιν EI. - σύγκρισιν (H, al. manu σύγκρησιν) JKθ.

τὸ πυκνότατον ξύγκρησιν ἐν τῷ σώματι, [1]τοισίδε γινώσκειν ὑγρὴν καὶ θερμὴν φύσιν· κάμνουσι μὲν μάλιστα οἱ τοιοῦτοι ἐν τῷ ἦρι, ἥκιστα δὲ ἐν τῷ φθινοπώρῳ, ὅτι ἐν μὲν τῷ ἦρι ὑπερβολὴ τῆς ὑγρασίης, ἐν δὲ τῷ φθινοπώρῳ συμμετρίη τῆς ξηρασίης· τῶν [2]δὲ ἡλικιέων νοσερώταται ὁκόσαι νεώταταί εἰσιν· αὔξεται δὲ τὰ σώματα ταχέως, [3]καταῤῥοώδεις δὲ οἱ τοιοῦτοι γίνονται. Διαιτῆσθαι δὲ [4]ξυμφέρει ὁκόσα ξηραίνοντα ψύχει καὶ σίτων καὶ ποτῶν καὶ πόνων, τοὺς δὲ πόνους τούτοισιν [5]εἴσω τοῦ σώματος ποιέεσθαι [6]ξυμφέρει μάλιστα. Εἰ δὲ σύγκρησιν λάβοι πυρός τε τὸ ἰσχυρότατον καὶ ὕδατος τὸ λεπτότατον, [7]ξηρὴ φύσις καὶ θερμὴ, νοῦσος μὲν τοῖσι τοιούτοισιν ἐν τῇσι τοῦ πυρὸς ἐφόδοισιν, [8]ὑγείη δὲ ἐν τῇσι τοῦ ὕδατος· ἡλικίῃσιν ἀκμαζούσῃσι πρὸς σαρκὸς εὐεξίην νοσερώτατοι, ὑγιηρότατοι δὲ οἱ [9]πρεσβύτεροι καὶ τὰ ἔγγιστα ἑκατέρων. Δίαιται ὁκόσαι ψύχουσι καὶ ὑγραίνουσι, καὶ τῶν πόνων [10]ὁκόσοι ἥκιστα ἐκθερμαίνοντες καὶ συντήκοντες πλείστην ψύξιν παρασχήσουσιν· αἱ τοιαῦται φύσιες [11]μακρόβιοι καὶ εὔγηροι γίνονται. Ἢν δὲ σύγκρησιν λάβῃ πυρὸς τοῦ ἀραιοτάτου καὶ ὕδατος τοῦ ξηροτάτου, [12]ξηρὴ καὶ ψυχρὴ ἡ τοιαύτη φύσις, νοσερὴ μὲν ἐν τῷ φθινοπώρῳ, ὑγιηρὴ δὲ ἐν τῷ ἦρι καὶ τοῖσιν ἔγγιστα ὡσαύτως· ἡλικίαι πρὸς ἔτεα [13]τεσσαράκοντα νοσεραί· παῖδες δὲ ὑγιηρότατοι καὶ τὰ προσέχοντα ἑκατέροισιν. Δίαιται [14]ὁκόσαι θερμαὶ ἐοῦσαι ὑγραίνουσι· καὶ πόνοι ἐξ ὀλίγου προσαγόμενοι, ἡσυχῇ διαθερμαίνοντες, μὴ πουλὺ ἀπὸ τῶν ὑπαρχόντων φέροντες. Περὶ μὲν οὖν φύσιος διαγνώσιος οὕτω χρὴ διαγινώσκειν τῆς ἐξ ἀρχῆς [15]ξυστάσιος.

33. Αἱ δὲ ἡλικίαι αὗται πρὸς ἑωυτὰς ὧδε ἔχουσι· παῖς μὲν οὖν κέκρηται ὑγροῖσι καὶ θερμοῖσι, διότι [16]ἐκ τούτων ξυνέστηκε καὶ ἐν

[1] Τοῖσι δὲ (δεῖ Zwing. in marg., Lind.) vulg. - ὑγρὰν EGHIJK. — [2] δὲ om. θ. - ἡλικιῶν θ. - ὅσαι θ. - νεώταται θ. - νεώτεραι vulg. — [3] καταροώδεις Gl. - τε οἱ vulg. - θ' οἱ EHIJK. - δὲ οἱ θ. - διαιτῆσθαι EHIKθ. - διαιτεῖσθαι vulg. — [4] σ. EHK. - ὅσα θ. - ξηραίνονται J. - καὶ ποτῶν om. (E, restit. al. manu) HIJK. - καὶ πόνων om. θ. — [5] εἴσω θετοῦ (sic) θ. - C'est pour εἴσωθε τοῦ. — [6] σ. EHKθ. - μᾶλλον Eθ. - σύγκρασιν θ. - πυρὸς τό τε vulg. - πυρός τε τὸ θ, Mack. — [7] καὶ ξηρὴ vulg. - καὶ om. θ, Lind. - ἡ φ. vulg. (ἡ τοιαύτη φ. Lind., Mack). - ἡ om. (H, restit. al. manu) θ. - νοῦσος θ, Lind., Mack. - νόσος vulg. - μὲν om. (H, restit. al. manu) θ. — [8] ὑγιείη Eθ. - τοῖσι E. - νοσηρότατοι θ. - ὑγιεινότατοι J. — [9] πρεσβύτεροι HK. - πρεσβύτατοι vulg. - οἱ pro τὰ J. - ὁκόσαι om. θ. - ὁπόσαι K. — [10] ὅσοι ἥκ. ἐκθερμαίνουσι καὶ συντήκουσι καὶ πλείστην θ. — [11] μακροβιώτατοι καὶ ὑγιηρότατοι (ὑγιεινότατοι J) vulg. - μακρόβιοι καὶ εὔγηροι θ. - δὲ om. J. - σύγκρασιν GHIJKθ. - λάβοι Kθ. — [12] ψυ-

signes : de telles gens souffrent le plus au printemps, le moins à l'automne, c'est qu'en effet au printemps il y a excès d'humidité, et à l'automne juste proportion de la sécheresse. Quant à l'âge, ils sont d'autant plus maladifs qu'ils sont plus jeunes; ils croissent rapidement, mais ils sont catarrheux. Le régime sera composé de ce qui sèche et refroidit, aliments, boissons, exercices; les exercices s'adresseront surtout à l'intérieur du corps. Si la combinaison est du feu le plus fort et de l'eau la plus ténue, la constitution est sèche et chaude, maladive quand le feu afflue, saine quand l'eau afflue; c'est à la fleur de l'âge et dans l'embonpoint que ces gens sont le plus maladifs; ils se portent le mieux à une époque plus avancée et dans l'âge approchant en deçà et au delà. Le régime qui convient est celui qui refroidit et humecte, et, parmi les exercices, ceux qui, tout en échauffant et atténuant le moins, procurent le plus de refroidissement. De telles constitutions arrivent à une longue et heureuse vieillesse. Quand la combinaison est du feu le plus raréfié et de l'eau la plus sèche, une telle constitution est sèche et froide, maladive à l'automne, saine au printemps, ainsi que dans les états atmosphériques analogues. Quant à l'âge, elle est maladive vers quarante ans; c'est l'enfance et l'époque attenante en deçà et au delà qui sont les plus saines. Il faut un régime qui, étant chaud, humecte, et des exercices qui soient accrus peu à peu, qui échauffent doucement et qui n'exercent pas une atténuation considérable sur le corps. Voilà comment il faut porter un diagnostic sur la nature de la constitution primitive.

33. (*Des âges.*) Les âges se comportent ainsi les uns par rapport aux autres. L'enfant est composé d'humide et de chaud, car c'est de cela qu'il a été formé et c'est dans cela qu'il a crû.

χρὴ καὶ ξ. φ. ἡ τοι. EHIJKθ. – νοσηρὴ θ. – ὑγιεινὴ J. — [12] τεσσεράκοντα θ. – δὲ θ. – δὲ om. vulg. – ὑγιεινότατοι J. — [14] ὅσαι θερμαίνουσιν, ὑγραίνουσι θ. – πολὺ IJKθ. – ὑπὸ θ. – γινώσκειν K. — [15] σ. EHIJKθ. – πρὸς ἑαυτὰς E (αὐτὰς θ). – κέκριται E. — [16] ἐξ ὀστέων pro ἐκ τούτων θ. – συν. EHIJKθ. – τοιούτοισιν θ. – ηὐξήνθη I. – ὑγρότητα E. – θερμότητα E.

τούτοισιν ηὐξήθη· ὑγρότατα μὲν οὖν καὶ θερμότατα [1]ὁκόσα ἔγγιστα γενέσιος, καὶ αὔξεται ὡς πλεῖστον, καὶ τὰ ἐχόμενα ὡσαύτως. Νεηνίσκος δὲ [2]θερμὸς μὲν, ὅτι τοῦ πυρὸς ἐπικρατέει ἡ ἔφοδος τοῦ ὕδατος· ξηρὸς δὲ, ὅτι τὸ ὑγρὸν ἤδη κατανάλωται τὸ ἐκ τοῦ παιδὸς, τὸ μὲν [3]ἐς τὴν αὔξησιν τοῦ σώματος, τὸ δὲ [4]ἐς τὴν κίνησιν τοῦ πυρὸς, τὸ δὲ ὑπὸ τῶν πόνων. Ἀνὴρ, ὁκόταν στῇ τὸ σῶμα, ξηρὸς καὶ ψυχρὸς, διότι τοῦ μὲν θερμοῦ ἡ ἔφοδος οὐκ ἔτι ἐπικρατέει, ἀλλ' ἕστηκεν, [5]ἀτρεμίζον δὲ τὸ σῶμα τῆς αὐξήσιος ἔψυκται· ἐκ δὲ τῆς νεωτέρης ἡλικίης τὸ ξηρὸν [6]ἔνι· ἀπὸ δὲ τῆς ἐπιούσης ἡλικίης καὶ τοῦ ὕδατος τῆς ἐφόδου οὔκω ἔχων τὴν ὑγρασίην, διὰ ταῦτα [7]ξηροῖσι κρατέεται. Οἱ δὲ [8]πρεσβῦται ψυχροὶ καὶ ὑγροὶ, διότι πυρὸς μὲν ἀποχώρησις, ὕδατος δὲ ἔφοδος· καὶ ξηρῶν μὲν ἀπάλλαξις, ὑγρῶν δὲ κατάστασις.

34. Τῶν δὲ πάντων τὰ μὲν ἄρσενα θερμότερα καὶ ξηρότερα, τὰ δὲ [9]θήλεα ὑγρότερα καὶ ψυχρότερα διὰ τόδε, ὅτι [10]γε ἀπ' ἀρχῆς ἐν τοιούτοισιν ἑκάτερα ἐγένετο καὶ ὑπὸ τοιούτων αὔξεται, γενόμενα [11]δὲ τὰ μὲν ἄρσενα τῇσι διαίτῃσιν ἐπιπονωτέρῃσι χρέεται, ὥστε ἐκθερμαίνεσθαι καὶ ἀποξηραίνεσθαι, τὰ δὲ θήλεα ὑγροτέρῃσι καὶ ῥαθυμοτέρῃσι [12]τῇσι διαίτῃσι χρέονται, καὶ κάθαρσιν τοῦ θερμοῦ ἐκ τοῦ σώματος ἑκάστου μηνὸς ποιέονται.

35. Περὶ [13]δὲ φρονήσιος ψυχῆς καὶ ἀφροσύνης ὀνομαζομένης ὧδε ἔχει· πυρὸς τὸ [14]ὑγρότατον καὶ ὕδατος τὸ ξηρότατον κρῆσιν λαβόντα ἐν τῷ σώματι φρονιμώτατον, διότι τὸ μὲν πῦρ ἔχει ἀπὸ τοῦ ὕδατος τὸ [15]ὑγρὸν, τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν· ἑκάτερον δὲ οὕτως

[1] Ὅσα θ. – τὰ θ. – τὰ om. vulg. — [2] θερμοῖσι καὶ ξηροῖσι, θερμοῖσι μὲν ὅτι.... ὕδατος· ξηροῖσι δὲ, ὅτι θ. – κατηνάλωται F (H, al. manu) IJK. — [3] εἰς I, Ald., Frob., Zwing. — [4] εἰς J. – ὥστειη (sic) pro ἀνὴρ, ὁκ. στῇ θ. — [5] ἀτρεμίζων θ. – δὲ θ. – δὲ om. vulg. – καὶ (καὶ om. θ) κατέψυκται (ἔψυκται, H al. manu κατέψ., θ) vulg. — [6] ἔνι.... ταῦτα om. θ. – οὐχ ὁ ἔχων vulg. (οὐκ ἔχει K', Mack). – Je lis οὔκω au lieu de οὐχ ὁ. — [7] τοῖσι ξηροῖσι θ. – Ante κρατέεται addunt καὶ ψυχροῖσι LK', Lind., Mack; καὶ ὑγροῖσι vulg. – καὶ ὑγροῖσι vel καὶ ψυχροῖσι om. θ. – κατέχεται E. — [8] πρεσβύτεροι θ. – ψυχροῖσι pro ψ. καὶ ὑγροὶ θ. – τοῦ πυρὸς K. – ἀποχωρήσιος GIJ. — [9] θήλαια G. – τάδε θ. — [10] τε vulg. – Je crois qu'il faut lire γε. – ἐγένοντο EHK. — [11] τε vulg. – Je crois qu'il faut lire δέ. – τὰ μὲν ἄρσενα K', Lind., Mack. – τὰ μὲν ἄρ. om. vulg. – Cette addition semble indispensable. – ἐπιπονοτέρησι H. – χρέεσθαι θ. – θερμαίνεσθαί τε καὶ θ. – ῥαθυμοτέροισι I. — [12] τῇσι om. θ. – χρέεται Lind. – θραῦσιν pro κάθαρσιν θ. – ποιέεται Lind. — [13] δὲ om. J. – ὀνομ. καὶ ἀφρ. E HIJKθ. — [14] ἰσχυρότατον L. – ὑγρότατον pro ξηρότατον L. – κρᾶσιν θ. – κρί-

Ainsi, l'être est d'autant plus humide et d'autant plus chaud qu'il est plus près de la génération, et il croît le plus (*voy.* de la Nature de l'homme, § 12, p. 65) ainsi que dans l'époque attenante à l'enfance. Le jeune homme est chaud aussi, parce que l'afflux du feu l'emporte sur l'eau; mais il est sec, parce que l'humide provenant de l'enfance est déjà dépensé, d'une part à la croissance du corps, d'autre part au mouvement du feu, d'autre part enfin par les exercices. L'homme fait est sec et froid; en effet l'afflux du feu ne triomphe plus, il s'est arrêté, et le corps, cessant de croître, s'est refroidi; mais, de l'âge plus jeune, il a le sec; de l'âge suivant et par l'afflux de l'eau il n'a pas encore l'humidité; aussi est-il exposé à être vaincu par les influences du sec. Les vieillards sont froids et humides, parce que le feu se retire et que l'eau afflue, parce que le sec s'en va et que l'humide se constitue.

34. (*Des sexes.*) En général, les mâles sont plus chauds et plus secs; les femelles plus humides et plus froides; en voici la raison : à la vérité, dans l'origine, les uns et les autres sont formés semblablement et croissent semblablement; mais, une fois nés, les mâles usent d'un régime plus laborieux, de manière à s'échauffer et à se dessécher, les femmes usent d'un régime plus humide et plus oisif et éprouvent tous les mois une purgation qui emporte le chaud hors du corps.

35. (*De l'intelligence et de la folie, ou de la santé mentale, suivant les proportions et les qualités du feu et de l'eau. L'auteur s'étend avec une complaisance puérile sur ces combinaisons hypothétiques.*) Pour ce qu'on nomme intelligence et inintelligence, voici ce qu'il en est : le feu le plus humide et l'eau la plus sèche se combinant dans le corps donnent la meilleure intelligence, le feu ayant l'humide grâce à l'eau, et l'eau ayant le sec grâce au feu; de cette façon ils se suffisent le mieux l'un à l'autre; ni le feu, manquant de nourriture, ne va à l'excès; ni l'eau, manquant de nourriture, ne se trouve en défaut; en

σιν, al. manu χρῆσιν H. - φρονιμώτατον EHKθ. - φρονιμώτατα vulg. — [15] ὑγρὸν.... συνταράσσῃ p. 516, l. 2, om. θ.

αὐταρκέστατον· οὔτε τὸ πῦρ τῆς τροφῆς ἐνδεέστερον [1]ἐπὶ πουλὺ φοιτᾷ, οὔτε τὸ ὕδωρ τῆς κινήσιος ἐπὶ [2]πουλὺ δεόμενον κωφοῦται· αὐτό τε οὖν ἑκάτερον οὕτως αὐταρκέστατόν ἐστι πρὸς ἄλληλά [3]τε κρηθέντα. Ὅ τι γὰρ ἐλάχιστα τῶν πέλας δέεται, τοῦτο μάλιστα τοῖσι παρεοῦσι προσέχει, πυρός τε τὸ ἥκιστα κινεύμενον μὴ ὑπ' ἀνάγκης, καὶ ὕδατος τὸ μάλιστα μὴ ὑπὸ βίης. Ἐκ τούτων [4]δὲ ἡ ψυχὴ συγκρηθεῖσα φρονιμωτάτη καὶ μνημονικωτάτη· εἰ δέ τινι ἐπαγωγῇ χρεομένη τούτων ὁκοτερονοῦν αὐξηθείη [5]ἢ μαραίνοι, ἀφρονέστατον ἂν γένοιτο, διότι οὕτως ἔχοντα αὐταρκέστατα. Εἰ δὲ πυρὸς τοῦ εἰλικρινεστάτου καὶ ὕδατος σύγκρησιν λάβοι, ἐνδεέστερον δὲ τὸ πῦρ εἴη τοῦ ὕδατος ὀλίγον, φρόνιμοι μὲν καὶ οὗτοι, ἐνδεέστεροι δὲ τῆς προτέρης, διότι κρατεόμενον τὸ πῦρ ὑπὸ τοῦ ὕδατος [6]καὶ βραδείην τὴν κίνησιν ποιεύμενον, νωθρότερον προσπίπτει πρὸς τὰς αἰσθήσιας· παραμόνιμοι [7]δ' εἰσὶν ἐπιεικέως αἱ τοιαῦται ψυχαὶ πρὸς ὅ τι ἂν προσέχωσιν· εἰ δὲ ὀρθῶς διαιτῷντο, [8]καὶ φρονιμώτεροι καὶ ὀξύτεροι γένοιντο παρὰ τὴν φύσιν. [9]Ξυμφέρει δὲ τοῖσι τοιούτοισι τοῖσι πρὸς πυρὸς διαιτήμασι μᾶλλον χρέεσθαι καὶ μὴ πλησμονῇσι μήτε [10]σιτίων μήτε πομάτων. Δρόμοισιν οὖν χρέεσθαι ὀξέσιν, ὅκως τοῦ τε ὑγροῦ κενῶται τὸ σῶμα καὶ τὸ ὑγρὸν ἐφιστῆται θᾶσσον· πάλῃσι δὲ καὶ [11]τρίψεσι καὶ τοῖσι τοιούτοισι γυμνασίοισιν οὐ [12]ξυμφέρει χρέεσθαι, ὅκως μὴ κοιλοτέρων τῶν πόρων [13]γινομένων πλησμονῆς πληρῶνται, βαρύνεσθαι γὰρ ἀνάγκη τῆς ψυχῆς τὴν κίνησιν ὑπὸ τῶν τοιούτων· τοῖσί[14] τε περιπάτοισι ξυμφέρει χρέεσθαι καὶ ἀπὸ δείπνου καὶ ὀρθρίοισι καὶ ἀπὸ τῶν δρόμων, ἀπὸ δείπνου μὲν, ὅκως τροφὴν ξηροτέρην ἡ ψυχὴ δέχηται ἀπὸ τῶν [15]ἐσιόντων, ὄρθρου δὲ, ὅκως αἱ διέξοδοι κενῶνται τοῦ ὑγροῦ καὶ μὴ φράσσωνται οἱ πόροι τῆς ψυχῆς, ἀπὸ δὲ τῶν γυμνασίων, ὅκως μὴ ἐγκαταλείπηται ἐν τῷ σώματι τὸ ἀπο-

[1] Ἐ. π. om., restit. al. manu EH. – πολὺ EHIJK. – ἐπιφοιτᾷ E. – οὔτε τό τε ὕδωρ I. — [2] πολὺ IJK. – κωφοῦται EHIJK. – κουφοῦται vulg. — [3] τε om. E. – κριθέντα I. – ὅτι Mack. – προσέχειν E (H, al. manu). — [4] δ' EHK. – ὁκότερον ἂν K'. — [5] ἢ om. (E, restit. al. manu) FGHJK, Ald. – Ante ἀφρ. addit καὶ al. manu J. – Ante αὐτ. addit τὰ al. manu J. — [6] καὶ om. EHK. – βραδίην Ald. – αἰσθήσεις K. — [7] δὲ E. – ἣν, al. manu ἂν H. – διαιτῷντο, al. manu διαιτῶνται H. – διαιτῶνται EP'. — [8] καὶ φρονιμώτερος καὶ ὀξύτερος γένοιτο H. – γένοιντο ἂν Zwing. — [9] σ. EHI. – τῷ τοιούτῳ EHKLP'. – Ante πρὸς addunt τοιούτοισι E (H, al. manu) KP'. – πλησμονῇ E. — [10] σίτων EHJK. – μὲν pro τε K. – κενοῦται Ald. – ἐπίσταται vulg. – ἐπίστηται (sic), η ex emend. K.

soi et dans la combinaison mutuelle, chaque principe est le plus suffisant. En effet, ce qui a le moins besoin des choses voisines s'attache le plus aux choses présentes, et c'est ce que font et le feu mû le moins et non par une nécessité et l'eau mue le plus et non par une force. L'âme composée de ces principes a le plus d'intelligence et de mémoire; si, par l'usage de quelque addition, il arrive que soit l'un soit l'autre de ces principes croisse ou décroisse, l'individu devient ce qu'il y a de moins intelligent, parce qu'ils ont quitté le point où ils étaient le plus suffisants. Dans une combinaison où entrent le feu et l'eau les plus purs, mais où le feu est un peu inférieur à l'eau, les individus sont à la vérité intelligents, mais moins que les précédents, parce que le feu, vaincu par l'eau et exécutant avec lenteur son mouvement, s'applique d'une façon plus obtuse aux sensations; mais de telles âmes sont passablement constantes dans ce à quoi elles s'attachent; avec un régime bien dirigé, elles acquerront plus d'intelligence et de pénétration que ce n'était leur lot naturel. A de telles gens il convient d'user de préférence d'un régime igné et de ne s'adonner à des excès ni d'aliments ni de boissons. Ils se livreront donc à l'exercice de courses rapides afin que le corps se vide de l'humide et que l'humide soit arrêté plus vite. Il ne convient pas d'employer la lutte, les frictions et les exercices semblables, de peur que, les pores devenant plus creux, le corps n'ait un excès de plénitude; car nécessairement le mouvement de l'âme est appesanti par de telles choses. Il est bon d'user de promenades et après le dîner et le matin et après les courses; après le dîner, afin que l'âme reçoive, des choses ingérées, une nourriture plus sèche; le matin, afin que les voies soient débarrassées de l'humide et que les pores de l'âme ne soient pas obstrués; après les exercices, afin que ce que la course fait

-ἐφίσταται Mack. — [11] τρίψησι GIJ. — [12] σ. EHK. - ὅκως.... χρέεσθαι om., restit. al. manu E. — [13] γιγν. HK. — [14] τε om. GHI (J, δὲ al. manu) K, Ald. -συμφ. HIK. — [15] ἐσ. HK. - εἰσ. vulg. - φράσσονται H. - φράσωνται K. - ἐγκαταλίπηται KJ. - ἀποκρηθὲν Zwing.

κριθὲν ἀπὸ τοῦ δρόμου, μηδὲ [1]ξυμμίσγηται τῇ ψυχῇ, μηδὲ ἐμφράσσῃ τὰς διεξόδους, μηδὲ συνταράσσῃ τὴν τροφήν. [2]Ξυμφέρει δὲ καὶ ἐμέτοισι χρέεσθαι, ὅκως ἀποκαθαίρηται τὸ σῶμα, εἴ τι ἐνδεέστερον οἱ πόνοι [3]διαπρήσσονται, προσάγειν δὲ ἀπὸ τῶν ἐμέτων, κατὰ μικρὸν προστιθέντα τὸ σιτίον [4]ἐς ἡμέρας τέσσαρας τὰς ἐλαχίστας. Χρίεσθαι [5]δὲ ξυμφορώτερον ἢ λούεσθαι, λαγνεύειν δὲ ὕδατος ἐφόδων [6]γινομένων πλείονα, ἐν δὲ τῇσι τοῦ πυρὸς ἐπιφορῇσι μείονα. Εἰ [7]δέ τινι ἐνδεεστέρην τὴν δύναμιν τὸ πῦρ λάβοι τοῦ ὕδατος, βραδυτέρην ἀνάγκη ταύτην εἶναι, καὶ καλέονται οἱ τοιοῦτοι ἠλίθιοι· ἅτε γὰρ βραδείης ἐούσης τῆς περιόδου, κατὰ βραχύ τι προσπίπτουσιν αἱ αἰσθήσιες, [8]καὶ ὀξεῖαι ἐοῦσαι ἐπ' ὀλίγον ξυμμίσγονται διὰ βραδυτῆτα τῆς περιόδου· αἱ γὰρ αἰσθήσιες τῆς ψυχῆς ὁκόσαι μὲν δι' ὄψιος [9]καὶ ἀκοῆς εἰσὶν, ὀξεῖαι, ὁκόσαι δὲ διὰ ψαύσιος, βραδύτεραι καὶ εὐαισθητότεραι. Τούτων μὲν οὖν αἰσθάνονται καὶ οἱ τοιοῦτοι οὐδὲν ἧσσον, [10]οἷον τῶν ψυχρῶν καὶ θερμῶν καὶ τῶν τοιούτων· ὁκόσα δὲ δι' ὄψιος ἢ ἀκοῆς αἰσθέσθαι δεῖ, ἃ μὴ πρότερον ἐπίστανται, οὐ δύνανται αἰσθάνεσθαι· ἢν γὰρ μὴ [11]σεισθῇ ἡ ψυχὴ ὑπὸ τοῦ πυρὸς πεσόντος, οὐκ ἂν αἴσθοιτο ὁκοῖόν τί ἐστιν. Αἱ οὖν τοιαῦται ψυχαὶ οὐ πάσχουσι τοῦτο διὰ παχύτητα· εἰ δὲ ὀρθῶς [12]διαιτῷντο, βελτίους γίνοιντο ἂν καὶ οὗτοι. [13]Ξυμφέρει δὲ τὰ διαιτήματα ἅπερ τῷ προτέρῳ, ξηροτέροισι δὲ χρῆσθαι καὶ ἐλάσσοσι τοῖσι σιτίοισι, τοῖσι δὲ πόνοισι πλείοσι καὶ ὀξυτέροισι· συμφέρει δὲ καὶ πυριῆσθαι, καὶ ἐμέτοισι χρέεσθαι ἐκ τῶν [14]πυριησίων, καὶ προσαγωγῇσιν [15]ἐκ τῶν ἐμέτων ἐκ πλείονος

[1]Συμμίσγηται EHIK. – ξυμμίσγεται G, Ald. – συμμίσγεται J. – μηδ' EHK. – ἐμφράσῃ vulg. – ἐμφράσσῃ EHIK. – συνταράξῃ vulg. – Tous les verbes sont au présent. — [2]σ. EHθ. – ὅπως J. — [3]διαρρήσσονται E (H, al. manu) K. – διαρήσσονται I, Ald. — [4]τούτοισι πλείονας ἡμέρας ἢ τέσσερας pro ἐς ἡ. τέσσαρας θ. – χρέεσθαι F. — [5]δὲ om., restit. al. manu H. – συμφ. EHIJθ. — [6]γιγν. K. – πλείονα om. θ. – ἐπιφ. om. (H, restit. al. manu) θ. – μεῖον θ. — [7]δέ τι (δ' ἔτι Zwing. in marg.) θ. – βραχυτέρην vulg. – βραδυτέρην Zwing., Foes in not., Lind., Mack. – Mack dit que θ a βραδυτέρην; ma collation n'en dit rien. – καλοῦνται θ. – οὗτοι pro οἱ τ. G. – ἠλήθιοι K. – ἠλίθειοι θ. — [8]καὶ ponitur ante ἐπ' EHKθ. – συμμ. EHIJKθ. – τε διὰ vulg. – τε om. Hθ. – βραδύτητα vulg. – βραδυτῆτα EHK. — [9]ἢ pro καὶ θ. – ἀναισθητότεραι quædam exempl. ap. Foes in not. — [10]οἷον om. θ. – καὶ τῶν θερμῶν EIK (θ, secundum Mack). – ἢ δι' ἀκ. EHK. – αἰσθάνονται δεῖ sine ἢ ἀκοῆς θ. – δύναται, al. manu δύνανται H. — [11]συστῇ E (H, al. manu) K. – αἴσθοιτο om., restit. al. manu H. – αἰσθάνοιτο K. – τι om. θ. – ταχυτῆτα vulg. – παχύτητα

sécréter ne demeure pas dans le corps ni ne se mêle à l'âme ni n'obstrue les voies ni ne trouble la nourriture. Il importe aussi d'user des vomissements, afin que le corps soit nettoyé au cas où les exercices n'y suffiraient pas complétement, puis, après les vomissements, aller graduellement, augmentant peu à peu l'alimentation pendant quatre jours au moins. Il vaut mieux faire des onctions que prendre des bains. On usera souvent du coït lorsque l'eau afflue ; on en usera moins dans l'afflux du feu. Dans les combinaisons où le feu a une puissance inférieure à l'eau, l'âme est nécessairement plus lente, et ces gens sont appelés niais. En effet, la circulation étant lente, les sens ne s'appliquent que brièvement ; ils sont rapides, et cette lenteur fait qu'ils ne s'attachent qu'un peu. Les sensations de l'âme qui dépendent de la vue et de l'ouïe sont rapides ; celles qui dépendent du toucher sont plus lentes et mieux sentantes. Ces dernières sensations, telles que celles du froid, du chaud et du reste, ne s'opèrent pas moins chez eux ; mais quant à ce qu'il faut saisir par la vue ou l'ouïe, ils ne peuvent saisir ce qu'ils ne savent pas d'avance. En effet, si l'âme n'est pas secouée par le feu qui tombe, elle ne saisira pas de quoi il s'agit. De telles âmes ont cette incapacité à cause qu'elles sont épaisses ; mais, soumises à un régime bien dirigé, elles sont susceptibles, elles aussi, de s'améliorer. Ici le même régime convient que dans le cas précédent ; seulement les aliments seront plus secs et moindres, les exercices plus considérables et plus actifs ; il convient aussi d'user d'étuves, d'employer, après l'étuve, les vomissements, d'ac-

EHKθ, Lind., Mack. — [12] διαιτῶτο, βέλτιον γένοιτο (γένοιτ' K ; γίνοιτο HIJ ; γίνοιτ' E) ἂν καὶ ὁ τοιοῦτος vulg. - διαιτῷντο, βελτίους γίνοιντο ἂν καὶ οὗτοι θ. — [13] σ. EHIθ. - δὲ EHKθ. - οὖν pro δὲ vulg. - ξηροτέροις E. - ξυροτέροισι J. - δὲ om. θ. - χρῆσθαι om. (H, restit. al. manu) θ. - ἐλάσσοισι Frob., Zwing., Lind. - τοῖσι σιτίοισι om. θ. — [14] πυριήσεων θ. - πυριήσιων EHK, Lind. - προσαγωγῇ EP'. - προσάγωσιν, al. manu προσαγωγῆσιν H. — [15] τῆσιν ἐκ τῶν θ. - ἢ τὸ πρότερον θ. - ἢν ποιέει (ποιέῃ Lind.) ἐνδεέστερον vulg. - ἢν ποιε τερον (sic), al. manu ποιέῃ ἕτερον H. - ἢν ποιέει ἔμετον Ald. - ἢν ποιέῃ ἕτερον EK. - ἢν ποιέε ἔστερον (sic) G. - ἢν ποιεέτερον IJ. - ὑγιηρότερος EHK.

χρόνοι ἢ τὸ πρότερον, καὶ ταῦτα ποιέων ὑγιεινότερος ἂν καὶ φρονιμώτερος εἴη. [1]Εἰ δὲ κρατηθείη ἐπὶ πλεῖον τὸ πῦρ ὑπὸ τοῦ ἐόντος ὕδατος, τούτους ἤδη οἱ μὲν ἄφρονας ὀνομάζουσιν, οἱ δὲ ἐμβροντήτους. Ἔστι δ' ἡ μανίη [2]τοιούτων ἐπὶ τὸ βραδύτερον· οὗτοι κλαίουσί τε οὐδενὸς λυπέοντος ἢ τύπτοντος, δεδίασί [3]τε τὰ μὴ φοβερὰ, λυπέονταί [4]τε ἐπὶ τοῖσι μὴ προσήκουσι, [5]αἰσθάνονταί τε ἐτεῇ οὐδενὸς ὡς προσήκει τοὺς φρονέοντας. [6]Ξυμφέρει τοιγαροῦν τούτοισι πυριῆσθαι καὶ ἐλλεβόροισιν ἐκκαθαίρεσθαι ἐκ τῶν πυριησίων, καὶ [7]τῇ διαίτῃ χρέεσθαι ᾗ εἶπον πρότερον· ἰσχνασίης [8]δὲ πλεύμονος οὗτος δέεται καὶ ξηρασίης. Εἰ δὲ τὸ ὕδωρ ἐνδεεστέρην τὴν δύναμιν λάβοι, τοῦ πυρὸς εἰλικρινῆ τὴν [9]σύγκρησιν ἔχοντος, ἐν ὑγιαίνουσι σώμασι φρόνιμος ἡ τοιαύτη ψυχὴ καὶ ταχέως αἰσθανομένη τῶν προσπιπτόντων καὶ οὐ μεταπίπτουσα πολλάκις [10]ἐστί. Φύσις μὲν οὖν ἡ τοιαύτη ψυχῆς ἀγαθῆς· [11]βελτίων δὲ γένοιτο ὀρθῶς διαιτεύμενος, καὶ κακίων μὴ ὀρθῶς. Συμφέρει δὲ τῷ [12]τοιούτῳ [13]τῇ διαίτῃ χρέεσθαι τῇ πρὸς ὕδατος μᾶλλον, ὑπερβολὰς φυλασσόμενον καὶ [14]σιτίων καὶ πομάτων καὶ πόνων, καὶ δρόμοισι καμπτοῖσι [15]καὶ διαύλοισι καὶ πάλῃσι καὶ τοῖσιν ἄλλοισι γυμνασίοισιν, ὑπερβολὴν οὐδενὸς ποιεύμενον. [16]Ἢν γὰρ ἔχῃ ὑγιηρῶς τὸ σῶμα καὶ μὴ ὑπ' ἄλλου τινὸς [17]ξυνταράσσηται, τῆς ψυχῆς φρόνιμος ἡ σύγκρησις. Εἰ [18]δ' ἐπὶ πλεῖον κρατηθείη ἡ

[1] Εἰ HKθ. – ἢν vulg. — [2] τοιοῦτον EGK, Ald. – τοιοῦτο HIJ. – τοῦτο θ. – βραχύτερον θ. – κλέουσι θ. – λυπέοντος E (H, al. manu) K. – λυποῦντος vulg. – ἕνεκα pro λ. ἢ τύπτοντος θ. – δεδοίκασι Frob., Zwing. — [3] τε om. GIJ. – λυποῦνται θ. — [4] τε Hθ. – τε om. vulg. – τοῖς EGHIJ, Ald., Frob., Zwing. – προσῆκον FGIK, Ald. — [5] καὶ (καὶ om. EHK) αἰσθ. (τε EHK) οἷσιν οὐ πρ. τοῖς φρονέουσι (τοὺς φρονέοντας E, H al. manu τοῖς φρονέουσι, KQ') vulg. – αἰσθάνονταί τε ητιη (sic) οὐδενὸς προσήκει τοὺς φρονέοντας θ. – Mack dit que θ a οὐδαμῶς; ma collation porte οὐδενός. Je prends la leçon de θ, lisant ἐτεῇ pour ητιη et ajoutant ὡς après οὐδενός. Cette dernière correction va de soi; car l'omission de ὡς à la suite de ως ou ος final est fréquente de la part des copistes. Quant à ἐτεῇ, l'objection est que ce mot est poétique. Mais l'ionisme des auteurs hippocratiques offre de ces formes poétiques. — [6] σ. EHJθ. – δὲ pro τοιγαροῦν EHKθ. – τούτοις θ. – πυριήσιων K, Lind. – πυριήσεων E. — [7] τῇ EHKθ. – τῇ om. vulg. – Ante ᾗ addunt δεῖ EHK. – ἧπερ sine εἶπον θ. — [8] τε pro δὲ EHK. – δὲ πλ. οὗτος om. θ. – πν. vulg. – πλ. I. – πλείονος pro πλεύμ. Zwing. in marg. – Il faut garder πλεύμονος; comp. Ép. VI, 5, 15. – λάβῃ H. — [9] σύγκρασιν (σύγκρησιν Eθ, Zwing., Lind.) ἐχόντων (ἔχοντος θ) (ἐν addunt θ, Mack) ὑγι. (ἐϋγιαίνουσι I, J al. manu ἐν ὑγι.) σώμασι φρονίμοις (φρόνιμος EHKθ, Mack; φρόνιμοι Lind.) ἡ δὲ (δὲ om. EH

croître après le vomissement la nourriture par des accroissements plus lents que pour le précédent. Avec ces pratiques un tel homme deviendra plus sain et plus intelligent. Dans les combinaisons où le feu est encore plus surmonté par l'eau existante, on a des gens qui sont dits par les uns insensés, par les autres étonnés. La folie de ces gens a un caractère de lenteur; ils se plaignent sans que personne les afflige ou les batte; ils craignent ce qui n'est pas à craindre, ils se tourmentent de ce qui n'a rien de tourmentant, et ne sentent véritablement rien comme sent un homme d'esprit sain. Il faut les faire user d'étuves, se purger avec les ellébores après les étuves et suivre le régime que j'ai indiqué plus haut. Ils ont besoin d'avoir le poumon atténué et desséché (*voy. note* 8). Dans les combinaisons où, l'eau ayant une puissance inférieure, le feu a un tempérament pur, le corps est sain, l'âme est intelligente, comprenant rapidement ce qui lui est soumis, et n'éprouvant pas de variations fréquentes. Donc la nature d'une telle âme est bonne; elle s'améliorera bien dirigée, et, mal dirigée, se détériorera. Dans un tel cas, il convient d'user d'un régime qui incline vers le régime aqueux, évitant les excès d'aliments, de boissons et d'exercices, et se livrer à la course courbe, à la course diaule (*double-stade ; 360 mètres*), à la lutte et au reste, sans faire excès de rien. En effet, si le corps demeure sain et n'éprouve aucune perturbation quelconque, la composition de l'âme est intelligente. Dans la com-

Kθ, Mack) τ. ψ. (καὶ addunt EHKθ, Mack) ταχέως vulg. — [10] ἐστὶ om. EHK. -εἶ (sic) pro ἡ J. — [11] β. δὲ καὶ οὗτος ὀρθῶς διαιτώμενος γίγνοιτο ἂν καὶ χακείων (sic) μὴ ὀρθῶς θ. - Post δὲ addit οὕτως H. - δὲ καὶ οὕτως γένοιτο EKQ'. - γένοιτο om., restit. al. manu H. - διαιτεόμενος HK. - διαπώμενος E. - διαιταόμενος I. - διαιτευόμενος, al. manu διαιτευομένη J. - Post διαιτ. addunt γένοιτ' ἂν EH. — [12] οὕτω (sic), al. manu τοιούτω H. — [13] τῇ om. EK. - ἡ διαίτη J. - ὑπερβολὰς.... πόνων om., restit. al. manu E. — [14] σίτων HIJθ. - ποτῶν pro πομάτων θ. - ποτῶν pro πόνων GHIJK. — [15] καὶ δ. καὶ π. om. (E, restit. al. manu) GHIJK, Ald. - πάλη θ. - Post γυμν. addit πᾶσιν θ. — [16] ἢν γὰρ ὑπογήρως ἔχηται τὸ σῶμα θ. — [17] σ. EHIθ. - ταράσσηται K. - Post ξ. addit τὸ σῶμα θ. - ἡ συγκ. J. - ἡ om. vulg. - σύγκρασις θ. — [18] δὲ sine ἐπὶ, al. manu δ' ἐπὶ H. - πλείω θ.

τοῦ ὕδατος δύναμις ὑπὸ τοῦ πυρὸς, ὀξυτέρην μὲν τοσούτῳ ἀνάγκη εἶναι τὴν ψυχὴν [1]ὅσῳ θᾶσσον κινέεται, καὶ πρὸς τὰς αἰσθήσιας θᾶσσον προσπίπτειν, ἧσσον δὲ μόνιμον τῶν πρότερον, [2]διότι κρίνεται τὰ παραγινόμενα καὶ ἐπὶ πλείονα ὁρμᾶται διὰ ταχυτῆτα. [3]Ξυμφέρει δὲ τῷ τοιούτῳ διαιτῆσθαι τῇ πρὸς ὕδατος διαίτῃ μᾶλλον ἢ τῇ προτέρῃ· καὶ μάζῃ μᾶλλον ἢ [4]ἄρτῳ, καὶ ἰχθῦσιν ἢ κρέασι· τῷ ποτῷ ὑδαρεστέρῳ· καὶ λαγνείῃσιν ἐλασσόνως χρέεσθαι· καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα καὶ πλείστοισι· τοῖσι [5]δ' ὑπὸ βίης χρέεσθαι μὲν ἀνάγκῃ, ἐλάττοσι δέ· καὶ ἐμέτοισιν [6]ἐκ τῶν πλησμονῶν, ὅκως κενῶται μὲν τὸ σῶμα, θερμαίνηται δὲ ὡς ἥκιστα. Συμφέρει δὲ καὶ [7]ἀσαρκέειν τοῖσι τοιούτοισι πρὸς τὸ φρονίμους εἶναι· πρὸς γὰρ σαρκὸς εὐεξίην αἵματος φλεγμονὴν ἀνάγκη γίνεσθαι· ὁκόταν δὲ [8]τοῦτο πάθῃ ἡ τοιαύτη ψυχὴ, ἐς μανίην καθίσταται, κρατηθέντος τοῦ ὕδατος, [9]ἐπισπασθέντος τοῦ πυρός. Ξυμφέρει δὲ τοῖσι τοιούτοισι καὶ τὰς πρήξιας πρήσσειν βεβρωκόσι μᾶλλον ἢ ἀσίτοισι· στασιμωτέρη γὰρ [10]ἡ ψυχὴ τῇ τροφῇ καταμισγομένη [11]τῇ συμφόρῳ μᾶλλον ἢ ἐνδεὴς ἐοῦσα τροφῆς. Εἰ δέ τινι πλέον ἐπικρατηθείη τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς, ὀξείη ἡ τοιαύτη ψυχὴ ἄγαν, καὶ [12]τούτους ὀνειρώσσειν ἀνάγκη· καλέουσι δὲ αὐτοὺς ὑπομαινομένους· ἔστι γὰρ ἔγγιστα μανίης τὸ τοιοῦτον· καὶ γὰρ ἀπὸ βραχείης φλεγμονῆς [13]καὶ ἀσυμφόρου μαίνονται,

[1] Ὅκως EFH. – θᾶσσον EHIJKθ, Mack. – θᾶττον vulg. – κινέηται EK. – κινέεσθαι GIJ. – αἰσθήσεις θ. – Post αἰσθ. addit δὲ θ. – προσπίπτῃ E (H, al. manu). – μονίμους θ. – προτέρων θ. — [2] διὸ θ. – ἐκκρίνεται θ. – κινέεται Zwing. in marg., Mack. – πλείονα θ, Mack. – πλεύμονα (πν. GJK) vulg. – ταχύτητα Lind., Mack. – τραχύτητα J. – παχυτῆτα (sic) E (H, al. manu ταχυτῆτα). — [3] ξ. G, Ald., Lind. – σ. vulg. – διαιτᾶσθαι θ. – διαιτεῖσθαι J, Ald. – Post ὕδατος addunt μᾶλλον ὑπερβολῆς (ὑπερβολὰς Ald.; ὑπερβολὴν I; ὑπερβολῇ J) φυλασσόμενον καὶ σιτίων (σίτων IJ) καὶ πομάτων καὶ ποτῶν (καὶ πόνων καὶ ποτῶν Ald.) καὶ δρόμοισι καὶ καμπτοῖσι καὶ διαύλοισι καὶ πάλῃσι καὶ τοῖσιν ἄλλοισι γυμνασίοισιν ὑπερβολὴν οὐδενὸς, ὡς ἔφην, ποιεύμενον. Ἢν γὰρ ὑγιηρῶς ἔχῃ τὸ σῶμα καὶ μὴ ὑπ' ἄλλου τινὸς συνταράσσηται, τῆς ψυχῆς φρόνιμος ἡ σύγκρησις· εἰ δ' ἐπὶ πλεῖον κρατηθείη ὑπὸ τοῦ πυρὸς ἡ τοῦ ὕδατος δύναμις, ὀξυτέρην μὲν τοσούτω ἀνάγκη εἶναι (εἶναι ἀνάγκη IJ) τὴν ψυχὴν ὅκως θᾶσσον κινέηται, καὶ πρὸς τὰς αἰσθήσιας θᾶσσον προσπίπτειν· ἧσσον δὲ μόνιμον τῶν πρότερον, διότι κρίνεται τὰ παραγενόμενα καὶ ἐπὶ πνεύμονα (πλ. I) ὁρμᾶται διὰ ταχυτῆτα (ταχῦτα sic I; τραχυτῆτα J). Συμφέρει δὲ τῶ τοιούτω διαιτῆσθαι τῇ πρὸς ὕδατος HIJ, Ald. — [4] τῷ ἄρτῳ vulg. – τῷ om. EP'. – αὐτῷ pro ἄρτῳ FGHJK. – ἐλάσσοσι E (H, al. manu ἐλασσόνως) Kθ. — [5] δ' om. θ. – μὴ pro μὲν K'. — [6] Ante ἐκ addit καὶ θ. – τῶν αὐτῶν πλ. vulg.

binaison où la puissance de l'eau est notablement surmontée par le feu, nécessairement l'âme est d'autant plus pénétrante qu'elle se meut plus rapidement; elle s'attache plus vite aux sensations, mais elle est moins constante que les précédentes, parce que, jugeant ce qui passe, elle se jette sur plus d'objets à cause de sa promptitude. Ici il faut incliner, plus que dans le cas précédent, vers le régime aqueux, user plutôt de la polenta (*pâte d'orge*) que du pain, de poisson plutôt que de viande, couper sa boisson, se livrer moins au coït, pratiquer surtout et souvent, parmi les exercices, ceux qui sont naturels; quant à ceux qui sont violents, n'y recourir que par nécessité et n'en prendre que peu; n'employer les vomissements après s'être rempli d'aliments que de manière à évacuer le corps en l'échauffant le moins possible. Il importe aussi d'atténuer les chairs afin que ces gens soient intelligents; en effet, l'embonpoint amènera nécessairement l'inflammation du sang; or, quand cela arrive à une telle âme, elle tombe dans le délire, l'eau étant surmontée, et le feu étant attiré. A ces gens aussi il convient de faire leurs affaires ayant mangé plutôt qu'à jeun; l'âme en effet est plus stable, étant mêlée à la nourriture convenable, qu'elle ne l'est étant dans l'indigence de nourriture. Dans la combinaison où l'eau est encore davantage surmontée par le feu, une telle âme a un excès d'activité, et nécessairement ces gens sont sujets à rêver; on les nomme demi-fous; car un tel état est voisin de la folie;

-αὐτῶν om. EFHIJθ.-πλεισμονῶν θ.-κενῶται, al. manu κενοῦται H.-κενοῦται FGIJ, Ald.-θερμαίνησθαι (sic) θ.—[7] ἀσαρκεῖν θ.-ἐσαρκέειν (sic) E. -Post εὐεξ. addit καὶ θ.-αἵματος θ, Zwing. in marg., Mack.-καύματος vulg.—[8] τοῦτο θ.-τοιοῦτον vulg.-τοιαύτη om. GIJ.—[9] ἐπισπασθέντος τοῦ πυρὸς θ, Mack.-καὶ (καὶ om. H, restit. al. manu) ἐπισπασθεῖσα sine τοῦ πυρὸς vulg.-συμφ. HKθ.-πράξιας θ.—[10] ἡ om. Lind.—[11] τῇ θ.-τῇ om. vulg.-ἐοῦσα EHKQ'.-οὖσα vulg.-τινι θ.-τι vulg.-πλεῖον θ.-ἀπὸ θ.-ὀξείη.... γὰρ p. 524, l. 4 om. θ.—[12] ἐν τῷ pro τούτους Zwing. in marg.-ἀνάγκη K', Mack.-ἀν. om. vulg.-Post ὑπομ. addit ὑπομαίνεσθαι E.-τὸ ὑπομαίνεσθαι, al. manu αὐτοὺς ὑπομαινομένους H.-δὲ pro γὰρ HKP'Q'.-τοιοῦτο, al. manu τοιοῦτον H.—[13] καὶ om., restit. al. manu H.-τῶν om. HK.-κρεωφαγιῶν Lind.

καὶ ἐν τῇσι μέθῃσι καὶ ἐν τῇσιν ευεξίῃσι τῆς σαρκὸς καὶ ὑπὸ τῶν κρεηφαγιῶν. Ἀλλὰ χρὴ τὸν τοιοῦτον [1]τούτων μὲν πάντων ἀπέχεσθαι καὶ τῆς ἄλλης πλησμονῆς, καὶ γυμνασίων τῶν ἀπὸ βίης γινομένων, μάζῃ [2]δὲ ἀτρίπτῳ διαιτῆσθαι, καὶ λαχάνοισιν ἑφθοῖσι πλὴν τῶν καθαρτικῶν, καὶ ἰχθυδίοισιν ἐν ἅλμῃ, καὶ ὑδροποτέειν βέλτιστον, [3]εἰ δύναιτο· εἰ δὲ μὴ, ὅ τι ἐγγιστότατα τούτου, ἀπὸ μαλακοῦ οἴνου καὶ λευκοῦ· καὶ τοῖσι περιπάτοισι τοῖσιν ὀρθρίοισι πουλλοῖσιν, ἀπὸ δείπνου [4]δὲ ὁκόσον ἐξαναστῆναι, ὅκως τὰ μὲν σῖτα μὴ ξηραίνωνται ἀπὸ τῶν ἀπὸ δείπνου περιπάτων, τὸ δὲ σῶμα κενῶται ὑπὸ τοῦ ὀρθρίου· λούεσθαι δὲ χλιερῷ ὕδατι περικλύδην μᾶλλον ἢ χρίεσθαι· [5]ξυμφέρει δὲ καὶ ἐν τῷ θέρει [6]τῆς ἡμέρας ὕπνοισι χρέεσθαι βραχέσι μὴ πολλοῖσιν, ὅκως μὴ ἀποξηραίνηται τὸ σῶμα ὑπὸ τῆς ὥρης· ἐπιτήδειον δὲ τοῦ ἦρος καὶ ἐλλεβόροισι καθαίρειν προπυριηθέντας, [7]εἶτα ἐπάγειν πρὸς τὴν διαίτην ἡσυχῇ, καὶ μὴ ἄσιτον τὰς πρήξιας μηδὲ τοῦτον ποιέεσθαι· ἐκ ταύτης τῆς ἐπιμελείης ἡ τοιαύτη ψυχὴ φρονιμωτάτη ἂν εἴη.

36. Περὶ μὲν οὖν φρονίμου καὶ ἄφρονος ψυχῆς ἡ [8]σύγκρησις αὕτη αἰτίη ἐστὶν, ὥσπερ μοι [9]καὶ γέγραπται· καὶ δύναται ἐκ τῆς διαίτης καὶ βελτίων καὶ χείρων γίνεσθαι. Δρόμοισι δὲ πυρὸς ἐπικρατέοντος, τῷ ὕδατι [10]προστιθέναι δυνατὸν ἂν ἴσως, καὶ, τοῦ ὕδατος ἐπικρατέοντος ἐν τῇ συγκρήσει, τὸ πῦρ αὐξῆσαι· ἐκ τούτων δὲ φρονιμώτεραι καὶ ἀφρονέστεραι γίνονται. Τῶν δὲ τοιούτων οὐκ ἐστὶν ἡ [11]σύγκρησις αἰτίη· οἷον ὀξύθυμος, ῥᾴθυμος, δόλιος, ἁπλοῦς, δυσμενὴς, εὔνους· τῶν τοιούτων ἁπάντων ἡ φύσις τῶν πόρων δι' ὧν ἡ ψυχὴ πο-

[1] Τοῦτον, al. manu τούτων H. — [2] δ' EHK. – διαιτῆσθαι EHK. – διαιτᾶσθαι vulg. — [3] εἰ EHK. – ἢν vulg. – ἐγγιστότατα est-il admissible? il est dans tous nos mss. – τούτων (H, al. manu, erat prius τούτου) K. – πολλοῖσι EHIJK, Lind., Mack. — [4] δ' EHK. – σιτία K. – μὴ om. K. – ξηραίνηται Lind. – ἀπὸ τῶν om. G. – κενοῦται G (H, al. manu κενῶται) IJ, Ald. – χλιερῶ (H, al. manu χλιαρῶ) K. – χλιαρῷ vulg. — [5] σ. HIJK. – δὲ καὶ ἐν τῷ θέρ. om. J. — [6] τάς EGJ, Ald. – βραχέσιν ἢ (οὐ pro ἢ K', Zwing.; μὴ Lind.) vulg. – La correction de Linden est la bonne : βραχέσι μὴ aura été lu βραχέσιν ἤ. — [7] εἶτ' E. – δίαιταν al. manu H. — [8] σύγκρισις, al. manu σύγκρησις H. – ἐστὶν GHJKK', Mack. – ἐστὶν om. vulg. — [9] καὶ om. J. — [10] προστιθέναι Mack. – προστιθέντα vulg. – ἀδύνατον vulg. – La correction de Mack (προστιθέναι) me paraît devoir être adoptée. Mais ce changement n'est pas suffisant; et il faut remplacer ἀδύνατον de vulg. par δυνατόν. En effet tout le raisonnement de l'auteur est que l'on peut ajouter soit au feu soit à l'eau par le régime de

et, pour les faire délirer, il suffit d'une courte et malheureuse inflammation, de l'ivresse, d'un excès d'embonpoint, de l'usage des viandes. Ici on s'abstiendra de ce qui est dit ci-dessus et de toute autre plénitude, ainsi que des exercices violents; on usera de polenta non pétrie, de légumes cuits excepté ceux qui sont relâchants, de petits poissons dans la saumure; le mieux sera de boire de l'eau si l'on peut; sinon, on se tiendra aussi près que possible de l'eau, c'est-à-dire qu'on boira d'un vin mou et blanc; on fera beaucoup de promenades du matin, après le dîner on ne fera qu'un tour, afin que les promenades après le dîner ne dessèchent pas les aliments, et que celles du matin évacuent le corps; il vaut mieux se laver avec des affusions abondantes d'eau tiède que de faire des onctions. En été, pendant le jour, on fera, afin que le corps ne soit pas desséché par la saison, une sieste non pas longue, mais courte; il est bon aussi, au printemps, d'être évacué avec les ellébores après des étuves préalables, puis de reprendre l'alimentation par degrés ménagés, et de ne pas faire, non plus, ses affaires à jeun. C'est grâce à ces soins qu'une telle âme sera le plus intelligente.

36. (*Distinction entre les dispositions mentales qui dépendent des combinaisons du feu et de l'eau, et celles qui dépendent de la condition des pores.*) Ainsi l'intelligence et l'inintelligence de l'âme ont pour cause la combinaison que j'ai exposée; et l'âme, par le régime, peut devenir et meilleure et pire. Sans doute il est possible, quand c'est le feu qui court triomphant, d'ajouter à l'eau, et, quand c'est l'eau qui l'emporte dans la combinaison, d'accroître le feu; et c'est par là que les âmes deviennent plus intelligentes et plus inintelligentes. Mais les dispositions suivantes ne dépendent plus de

manière à modifier l'intelligence. Mais, suivant lui, les autres dispositions mentales, dépendant, non de la mixture du feu et de l'eau, mais de l'état des pores, ne sont pas modifiables. – συγκρίσει Gl. — ¹¹ σύγκρισις I. – ἔτι· οἶον vulg. – ἁπλοῦς I. – Il faut lire αἰτίη, l'iotacisme ayant pu très-bien, de αἰτίη, οἷον, faire ἔτι, οἷον.

ρεύεται, αἰτίη ἐστί· δι' ὁκοίων γὰρ ἀγγείων [1]ἀποχωρεῖ [2]καὶ πρὸς ὁκοῖά τινα προσπίπτει καὶ ὁκοίοις τισὶ καταμίσγεται, τοιαῦτα φρονέουσι· διὰ τοῦτο [3]γοῦν δυνατὸν τὰ τοιαῦτα ἐκ διαίτης μεθιστάναι· φύσιν [4]γὰρ μεταπλάσαι ἀφανέα οὐχ οἷόν τε. Ὡσαύτως δὲ καὶ τῆς φωνῆς ὁκοίη τις ἂν [5]ἔη, οἱ πόροι αἴτιοι τοῦ πνεύματος· δι' ὁκοίων γὰρ ἄν τινων κινέηται ὁ ἠὴρ καὶ πρὸς [6]ὁκοίους τινὰς προσπίπτῃ, τοιαύτην ἀνάγκη τὴν φωνὴν εἶναι. Καὶ [7]ταῦτα μὲν δυνατὸν καὶ χείρω καὶ βελτίω ποιέειν, διότι λειοτέρους καὶ [8]τραχυτέρους τοὺς πόρους τῷ πνεύματι [9]δυνατὸν ποιῆσαι, κεῖνο δὲ ἀδύνατον ἐκ διαίτης ἀλλοιῶσαι.

[1] Ὑποχ., al. manu ἀποχ. H. — [2] καὶ om. GI. - καταμίσγηται EHIK. — [3] οὖν EHK. - ἀδύνατον Lind., Mack. - Mack dit que θ a ἀδύνατον; mais, suivant ma collation, ce membre de phrase est compris dans une lacune; voy. p. 521, note 11. — [4] δὲ pro γὰρ L. - οὐχοιονται (sic) θ. — [5] εἴη vulg. - ᾗ (H, al. manu εἴη) θ, Mack. - αὔξονται pro αἴτιοι θ. - γὰρ om. (E, restit. al. manu) GHIJK, Ald. - γὰρ ἂν om. θ. - ἦν, al. manu ἂν H. - κινέηται EG (H, al. manu) IJK, Ald., Zwing., Mack. - κεινέηται θ. - κινέεται vulg. - ἠὴρ EHKθ, Mack. - ἀὴρ vulg. — [6] ποίους θ. - προσπίπτει EG (H, al. manu προσπίπτῃ) θ. - προσπίπτειν IJ. - Ante ἀν. addunt γὰρ EGHIJ, Ald. — [7] ταύτην K', Mack. - καὶ βελτίω καὶ χείρω θ. - πλειοτέρους (sic) θ. — [8] βραχυτέρους EGHIJK, Ald., Frob. - βραδυτέρους θ. - τοὺς πόρους om. θ. - πόνους I. - Mack dit que θ a σώματι au lieu de πνεύματι; ma collation porte πνεύματι. — [9] ἀδύνατον al. manu E.

la combinaison : irascible, indolent, rusé, simple, chagrin, bienveillant; pour toutes ces dispositions, la cause est la nature des pores par où l'âme chemine. En effet tels sont les vaisseaux qu'elle traverse, les objets où elle s'attache, et ceux avec lesquels elle se mêle, telle est l'intelligence; aussi est-il possible d'y faire des changements par le régime; et il ne l'est pas de remodeler une constitution latente. De même les conditions de la voix dépendent des tuyaux du souffle; tels sont les tuyaux que l'air traverse et ceux qu'il heurte, telle est nécessairement la voix, et il est possible de l'améliorer et de l'empirer, parce qu'il l'est de rendre pour l'air les tuyaux plus lisses ou plus rudes. Mais les dispositions signalées plus haut ne se changent pas par le régime.

FIN DU PREMIER LIVRE DU RÉGIME.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΔΕΥΤΕΡΟΝ.

DU RÉGIME.

LIVRE DEUXIÈME.

ARGUMENT.

Le deuxième livre passe en revue les contrées, les vents, les aliments, les boissons, les bains, les onctions, le soleil et le feu, l'ombre et le froid, les sueurs, l'acte vénérien, les vomissements, le sommeil et la veille, l'inaction et le travail, les exercices tant naturels que gymnastiques, et il se termine par l'examen des courbatures que produit chez les personnes inexercées un labeur quelconque, et chez les personnes exercées un labeur excessif.

S'il est vrai, comme le prétend notre auteur, que la théorie qui attribue la santé à un rapport exact entre les exercices et les aliments est de lui, et qu'il a été le premier à indiquer cette cause de maladies, les signes qui dénotent la rupture de ce rapport, et le traitement qui convient, cela peut servir à établir une sorte de chronologie relative entre les différents écrits hippocratiques. Car il en est quelques-uns qui sont manifestement dominés par cette théorie, laquelle, du reste, consiste en ceci : quand les exercices l'emportent sur les aliments, la chair se fond; cette fonte ou colliquation, étant trop considérable pour être dissipée par le mouvement circulaire (περίοδος), s'amasse et finit par produire la maladie. Au contraire, quand les aliments l'emportent sur les exercices, une portion de nourriture reste non consommée, elle s'amasse aussi, et la maladie naît derechef de cette surabondance.

Le vomissement de précaution, probablement introduit dans les habitudes populaires longtemps avant cette théorie, s'y encadrait merveilleusement. Voici comment les anciens le pratiquaient : on se gorgeait de nourriture, d'aliments variés ; puis l'on provoquait le vomissement. Suivant le but que l'on voulait atteindre, on laissait les aliments séjourner plus ou moins longtemps dans l'estomac avant de les faire rejeter. Il est curieux de suivre les effets de cette pratique, véritable expérimentation faite en grand sur le corps humain.

On lira aussi avec intérêt et certainement avec fruit les détails donnés sur les différents exercices. On ne peut trop signaler cette lacune dans notre existence moderne. Il conviendrait de rétablir parmi nous des habitudes qui étaient si utiles au développement physique et mental des anciens ; et ce serait un livre important au point de vue de la médecine sociale, que celui où, prenant pour point de départ les exercices de l'antiquité, on les comparerait avec les besoins de notre civilisation, et où l'on poserait les bases d'une bonne gymnastique tant pour les enfants que pour les adultes.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΔΕΥΤΕΡΟΝ.

37. [1]Χωρέων δὲ θέσιν καὶ φύσιν ἑκάστων ὧδε χρὴ διαγινώσκειν. Κατὰ παντὸς μὲν εἰπεῖν ὧδε ἔχει· ἡ πρὸς [2]μεσημβρίην κειμένη θερμοτέρη καὶ ξηροτέρη τῆς πρὸς τὰς ἄρκτους κειμένης, διότι ἐγγυτέρω τοῦ ἡλίου ἐστίν. Ἐν [3]δὲ ταύτῃσι τῇσι χώρῃσιν ἀνάγκη καὶ τὰ [4]ἔθνεα τῶν ἀνθρώπων καὶ τὰ φυόμενα ἐκ τῆς γῆς ξηρότερα καὶ θερμότερα καὶ ἰσχυρότερα εἶναι ἢ ἐν τῇσιν ἐναντίῃσιν· οἷον τὸ Λιβυκὸν ἔθνος πρὸς τὸ Ποντικὸν καὶ τὰ ἔγγιστα ἑκατέρων. Αὗται δὲ καθ' [5]ἑωυτὰς αἱ χῶραι ὧδε ἔχουσι· τὰ ὑψηλὰ καὶ αὐχμηρὰ καὶ πρὸς μεσημβρίην κείμενα ξηρότερα τῶν [6]πεδίων τῶν ὁμοίως κειμένων, διότι ἐλάσσους ἰκμάδας ἔχει· τὰ μὲν γὰρ οὐκ ἔχει στάσιν τῷ ὀμβρίῳ ὕδατι, τὰ [7]δὲ ἔχει. Τὰ [8]δὲ λιμναῖα καὶ ἑλώδεα ὑγραίνει [9]καὶ θερμαίνει· [10]θερμαίνει μέν, διότι κοῖλα καὶ περιεχόμενα καὶ οὐ διαπνέεται· ὑγραίνει δὲ, διότι τὰ φυόμενα ἐκ τῆς γῆς ὑγρότερα, [11]οἷσι τρέφονται οἱ ἄνθρωποι, τό τε πνεῦμα ὃ ἀναπνέομεν, παχύτερον διὰ τὸ ὕδωρ [12]ἀπὸ τῆς ἀκινησίης. Τὰ δὲ κοῖλα καὶ μὴ ἔνυδρα ξηραίνει καὶ θερμαίνει· θερμαίνει μὲν, ὅτι κοῖλα καὶ περιέχεται, ξηραίνει δὲ διά τε τῆς τροφῆς τὴν ξηρότητα, καὶ διότι τὸ πνεῦμα, ὃ ἀναπνέομεν, ξηρὸν ἐὸν, ἕλκει ἐκ τῶν σωμάτων τὸ ὑγρὸν ἐς τροφὴν ἑωυτῷ, οὐκ [13]ἔχον πρὸς ὅ τι ἂν ὑγρότερον προσπῖπτον τρέφηται. Ὅκου δὲ τοῖσι χωρίοισιν [14]ὄρεα προσκέεται πρὸς νότου, ἐν τούτοισιν [15]αὐχμώδεες οἱ νότοι καὶ νοσεροὶ

[1] Χωρέων Zwing. in marg., Lind., Mack. - χωρίων vulg. - Mack dit que θ a χωρέων; ma collation porte χωρίων. Mais les féminins qui suivent demandent en effet χωρέων. - θέσι (sic) θ. - ἑκάστου θ. - ἑκάστῳ Gal. in cit. De Alim. Fac., I. - χρὴ ὧδε θ. — [2] μεσημβρίην EK. - μεσημβρίαν vulg. - μεσημβρία (sic), al. manu ην H. - τὰς om. K. - ἐγγυτάτω θ, Mack. — [3] δὴ θ. — [4] ἔθεα, al. manu ἔθνεα F. — [5] ἑωυτὰς θ, Mack. - ἑαυτὰς vulg. - μεσημβρίην FHIJKθ. - μεσημβρίαν vulg. — [6] πεδινῶν GIJK. - ἐλάσσω (E, ους al. manu) GHIJKθ, Ald. - στᾶσιν vulg. - στάσιν EHJ, Zwing., Mack. — [7] δ' EHKθ. — [8] δὲ om. θ, Mack. - λιμναία (sic) E. — [9] Ante καὶ addunt μὲν EHK, Ald. - θερμ. om. FG. — [10] Ante θ. addunt καὶ IJ. - περιέχεται θ, Mack. - διαπνεῖται θ. — [11] οἷς EHK. - τρέφονται EHKθ, Mack. - ἐκτρέφονται vulg. - οἱ HKθ, Mack. - οἱ om. vulg. - ἀναπνέομεν θ, Mack. - ἀναφέρομεν vulg. — [12] τὸ ἀπὸ

DU RÉGIME.

LIVRE DEUXIÈME.

37. (*De la situation et de la nature de chaque contrée.*) Il faut ainsi juger de la situation et de la nature de chaque contrée : en général on peut dire que la contrée qui est au midi est plus chaude et plus sèche que celle qui est au nord; elle est en effet plus près du soleil. Dans ces régions, nécessairement et les populations humaines et les productions de la terre sont plus sèches, plus chaudes et plus actives que dans les régions opposées; exemple, la nation Libyque à l'égard de celle du Pont, et celles qui se rapprochent de l'une et de l'autre. Considérées en elles-mêmes, les contrées se comportent ainsi : les lieux hauts, arides et tournés au midi sont plus secs que les plaines situées semblablement, à cause qu'ils ont moins d'humidité; les hauts lieux ne retenant pas l'eau de pluie, et les plaines la retenant. Les contrées lacustres et marécageuses humectent et échauffent; elles échauffent, vu que, étant creuses et dominées, elles ne sont pas balayées par l'air; elles humectent parce que les productions de la terre dont se nourrissent les hommes sont plus humides et que l'air respiré est plus épais à cause de l'eau qui n'a pas de mouvement. Les contrées creuses et non humides dessèchent et échauffent; elles échauffent, parce qu'elles sont creuses et dominées; elles dessèchent, parce que les aliments qu'elles fournissent sont secs et que l'air respiré, étant sec, attire hors des corps l'humide pour sa nourriture à lui, n'ayant rien de

vulg. - τὸ om. θ. - ἀκεινησίης θ. - μὴ ἄνυδρα FGHI, Ald. - ἄνυδρα sine μὴ EJP', Mack. — [13] ἔχον EFGHJKθ, Lind., Mack. - ἔχων vulg. - ὑγρότερον θ, Mack. - ὑγρὸν vulg. — [14] ορεα (sic) θ. - ὄρη vulg. - πρόσκειται θ. - πρὸς ν. om. θ. - τουτέοισιν Mack. - Mack dit que θ a τουτέοισιν; ma collation porte τούτοισιν. — [15] ἀχμώδεες J. - αὐχμῶδες G. - αὐχμ.... τουτέοισιν om. θ. - πνέουσιν EHK.

προσπνέουσιν. Ὅκου δὲ [1]βόραθεν ὄρη πρόσκειται, ἐν τουτέοισιν [2]οἱ βορέαι ταράσσουσι καὶ νούσους ποιέουσιν. Ὅκου δὲ [3]βόραθεν κοῖλα χωρία τοῖσιν ἄστεσι προσκέεται, [4]ἢ καὶ ἐκ θαλάσσης νῆσος ἀντίκειται, [5]πρὸς τῶν θερινῶν πνευμάτων θερμὸν καὶ νοσερὸν τοῦτο τὸ χωρίον, διότι οὔτε βορέης διαπνέων καθαρὴν τὴν ἐπαγωγὴν τοῦ πνεύματος παρέχει, οὔτε ὑπὸ τῶν θερινῶν πνευμάτων διαψύχεται. Τῶν δὲ νήσων αἱ μὲν ἐγγὺς τῶν ἠπείρων δυσχειμερώτεραί εἰσιν, αἱ δὲ πόντιαι ἀλεεινότεραι τὸν χειμῶνα, διότι αἱ χιόνες καὶ πάγοι ἐν μὲν [6]τῇσιν ἠπείροισιν ἔχουσι στάσιν καὶ τὰ πνεύματα ψυχρὰ πέμπουσιν [7]ἐς τὰς ἐγγὺς νήσους, τὰ δὲ πελάγια οὐκ ἔχει στάσιν ἐν χειμῶνι.

38. Περὶ δὲ πνευμάτων ἥντινα φύσιν [8]ἔχει καὶ δύναμιν ἕκαστα, ὧδε χρὴ διαγινώσκειν. Φύσιν μὲν ἔχει τὰ πνεύματα πάντα ὑγραίνειν καὶ ψύχειν τά τε σώματα τῶν ζώων καὶ τὰ φυόμενα ἐκ τῆς γῆς διὰ τάδε· ἀνάγκη ἐστὶ τὰ πνεύματα ταῦτα [9]πάντα πνέειν ἀπὸ χιόνος καὶ κρυστάλλου καὶ πάγων ἰσχυρῶν καὶ ποταμῶν καὶ λιμνέων καὶ γῆς ὑγρανθείσης καὶ [10]ψυχρανθείσης. Καὶ τὰ μὲν ἰσχυρότερα τῶν πνευμάτων ἀπὸ μεζόνων καὶ ἰσχυροτέρων, τὰ δὲ ἀσθενέστερα ἀπὸ μειόνων καὶ ἀσθενεστέρων· ὥσπερ γὰρ καὶ τοῖσι ζώοισι πνεῦμα ἔνεστιν, [11]οὕτω καὶ τοῖσιν ἄλλοισι πᾶσι, τοῖσι μὲν ἔλασσον, τοῖσι δὲ [12]κατὰ μέγεθος. Φύσιν μὲν οὖν ἔχει ψύχειν καὶ ὑγραίνειν τὰ πνεύματα πάντα. Διὰ θέσιν δὲ χωρίων καὶ τόπων, δι' ὧν παραγίνεται [13]τὰ πνεύματα ἐς τὰς χώρας ἑκάστας, διάφορα γίνεται ἀλλήλων, ψυχρότερα, θερμότερα, ὑγρότερα, ξηρότερα, νοσερώτερα, ὑγιεινότερα. Τὴν [14]δὲ αἰτίην ἑκάστων ὧδε χρὴ γινώσκειν· ὁ μὲν βορέας ψυχρὸς πνέειν καὶ ὑγρὸς, ὅτι ὁρμᾶται ἀπὸ [15]τοιουτέων χωρίων, πορεύεταί [16]τε διὰ τοιουτέων τόπων, [17]οὕς τινας ὁ ἥλιος οὐκ ἐφέρπει, οὐδ' ἀποξηραίνων τὸν ἠέρα

[1] Βορᾶθεν (bis) vulg. – βοράθεν (bis) EFGHIJ, Ald., Frob., Zwing., Lind. – βορράθεν (bis) K. — [2] δοιμορραι (sic) pro οἱ βορ. θ. – Ante οἱ addunt δὲ EHK. – αἱ FGIJ, Ald. – βορέαι E, Lind., Mack. – βορρέαι (H, in marg. al. manu αἱ βόρρειαι) K. – βόρειαι vulg. – νούσους Hθ, Lind., Mack. – νόσους vulg. — [3] βορραθὲν θ. — [4] ἢ.... ἀντίκειται θ. – ἢ.... ἀντίκειται om. vulg. — [5] πρὸ θ. – θερίης pro θερινῶν θ. – πνευμάτων.... χώρην p. 532, l. 8, om. θ. – βορέης EH. – βορρέης K. – βορέας vulg. – καθαρίην Lind. — [6] τοῖσιν F. – στᾶσιν (bis) F. — [7] εἰς HK. – πελάγεα EK. – στᾶσιν G, Ald., Frob. — [8] ἔχη H. — [9] πάντα om. K. – χρυστάλλων FGI. – κρυστάλων J. – χρυστάλου E. – λιμναίων EH. — [10] ψυχθείσης EHKP'Q', Zwing. in marg. — [11] οὕτω EHJ. – οὕτως vulg. – ἔλασσον πνεῦμα vulg. – πνεῦμα om., restit. al. manu H. — [12] Ante κ. addit πνεῦμα H. – πάντα om. J. — [13] τὰ πν. om. J. – εἰς J. — [14] δ' EHK. – αἰτίαν E.

plus humide sur quoi il puisse se jetter et se nourrir. Là où la contrée est protégée par des montagnes au midi, là les vents du midi soufflent desséchants et insalubres. Là où la contrée est protégée par des montagnes au nord, là les vents d'aquilon causent du trouble et des maladies. Là où les villes ont des localités creuses au nord, et encore là où vis-à-vis une île est située au nord en mer, là il y a chaleur et insalubrité avec les vents d'été, parce que ni l'aquilon, balayant ces lieux, n'y apporte un flot d'air pur, ni les vents d'été ne les rafraîchissent. Parmi les îles, celles qui sont près de la terre ferme ont des hivers plus rudes, celles qui sont au large les ont plus doux; en effet, sur la terre ferme, les neiges et les glaces sont permanentes et envoient des vents froids aux îles voisines; mais en haute mer elles n'ont pas de permanence pendant l'hiver.

38. (*Des vents.*) Quant aux vents, on jugera ainsi de leur nature et de leurs propriétés. Les vents ont tous la vertu d'humecter et de rafraîchir et les corps des animaux et les productions de la terre. Voici pourquoi : nécessairement tous ces vents proviennent de la neige, de la glace, des fortes gelées, des fleuves, des étangs, et de la terre humectée et refroidie. Les vents les plus forts sont produits par les conditions de ce genre les plus grandes et les plus fortes; les vents les plus faibles, par des conditions moindres et plus faibles; car, comme il y a du souffle en tous les animaux, de même il y en a dans tout le reste, plus ou moins, suivant la grandeur. Ainsi donc tous les vents ont la propriété de refroidir et d'humecter. Mais par la situation des régions et des lieux qu'ils traversent pour arriver en chaque point, les vents deviennent différents les uns des autres, plus froids, plus chauds, plus humides, plus secs, plus malsains, plus

-καὶ ὑγρὸς πνεῖ EHK. — [15] τουτέων FGJ. — [16] δὲ pro τε E. - διὰ τῶν τ. vulg. - τῶν om. EFGHJK, Ald. - τοιουτέων K. - τοιούτων vulg. — [17] οὕς τινας EFGHJKP'Q', Zwing. in marg., Lind., Mack. - ὥς τινας vulg. - οὐχ ἐφέρπει (sic) H. - οὐχ ἕρπει vulg. - ἠέρα EHKP', Mack. - ἀέρα vulg.

ἐκπίνει τὴν ἰκμάδα, ὥστε παραγίνεται ἐπὶ τὴν οἰκουμένην, τὴν [1]ἑωυτοῦ δύναμιν ἔχων, ὅκου μὴ διὰ [2]τὴν θέσιν τῆς χώρης διαφθείρεται· καὶ τοῖσι μὲν οἰκέουσιν ἔγγιστα ψυχρότατος, τοῖσι δὲ προσωτάτω ἥκιστα. Ὁ δὲ νότος πνέει μὲν ἀπὸ τῶν ὁμοίων τὴν φύσιν τῷ βορέᾳ· ἀπὸ γὰρ [3]τοῦ νοτίου πόλου πνέων, ἀπὸ χιόνος πουλλῆς καὶ κρυστάλλου καὶ πάγων ἰσχυρῶν ὁρμώμενος, τοῖσι μὲν [4]ἐκεῖσε πλησίον αὐτοῦ οἰκοῦσιν ἀνάγκη τοῖον πνέειν [5]ὁκοῖόν περ ἡμῖν ὁ βορέας. Ἐπὶ δὲ πᾶσαν χώρην οὐκ ἔτι ὅμοιος παραγίνεται· διὰ γὰρ τῶν ἐφόδων τοῦ ἡλίου καὶ [6]ὑπὸ τὴν μεσημβρίην πνέων, ἐκπίνεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἡλίου· ἀποξηραινόμενος [7]δὲ ἀραιοῦται· διὸ ἀνάγκη θερμὸν αὐτὸν καὶ ξηρὸν ἐνθάδε παραγίνεσθαι. Ἐν μὲν οὖν τοῖσιν ἔγγιστα χωρίοισιν ἀνάγκη τοιαύτην δύναμιν ἀποδιδόναι θερμὴν καὶ ξηρὴν, καὶ ποιέει τοῦτο ἐν τῇ Λιβύῃ· τά τε [8]γὰρ φυόμενα ἐξαυαίνει, καὶ τοὺς ἀνθρώπους λανθάνει ἀποξηραίνων· ἅτε γὰρ οὐκ ἔχων [9]οὔτε ἐκ θαλάσσης ἰκμάδα λαβεῖν [10]οὔτε ἐκ ποταμοῦ, [11]ἐκ τῶν ζώων καὶ [12]ἐκ τῶν φυομένων ἐκπίνει τὸ ὑγρόν. Ὁκόταν δὲ τὸ πέλαγος περαιώσῃ, ἅτε θερμὸς ἐὼν καὶ ἀραιὸς, [13]πουλλῆς ὑγρασίης ἐμπίπλησι τὴν χώρην ἐμπίπτων· ἀνάγκη δὲ τὸν νότον θερμόν τε καὶ ὑγρὸν εἶναι, ὅκου μὴ τῶν χωρίων αἱ θέσιες αἴτιαί εἰσιν. Ὡσαύτως δὲ καὶ τῶν ἄλλων πνευμάτων [14]αἱ δυνάμιες ἔχουσιν. Κατὰ δὲ τὰς χώρας ἑκάστας τὰ πνεύματα ὧδε ἔχει· τὰ μὲν ἐκ θαλάσσης πνεύματα ἐς τὰς χώρας [15]ἐμπίπτοντα ἢ ἀπὸ χιόνος ἢ πάγων ἢ λιμνέων ἢ ποταμῶν ἅπαντα ὑγραίνει

[1] Ἑαυτοῦ EFGHIJK. — [2] τῆς χ. τὴν θέσιν EHIK. — [3] τοῦ om. E. - πολλῆς EHIJK. — [4] ἐκεῖθι, al. manu ἐκεῖσε H. - πλ. αὐτοῦ om., restit. al. manu H. — [5] ὁκοῖον (addunt περ Lind., Mack) ἐν (περ pro ἐν EHKQ'; παρ' pro ἐν Zwing. in marg.) ἡμῖν vulg. - ὁ om. J. - πᾶσαν om., restit. al. manu H. - Ante χ. addunt τὴν E (G, al. manu) HK, Ald. - χώραν E. — [6] ὑπὸ HIQ'θ, Lind., Mack. - ἐπὶ vulg. — [7] δὲ θ. - δὴ Zwing. in marg., Lind., Mack. - γὰρ pro δὲ vulg. - Mack dit que θ a δή; ma collation porte δέ. — [8] γὰρ θ, Mack. - γὰρ om. vulg. - ἐξαυαίνει θ, Mack. - ἐξαυαίνεται vulg. — [9] οὔτ' θ. — [10] οὔτ' θ. - οὐδ' E (H, al. manu οὔτε) K. — [11] καὶ ἐκ vulg. - καὶ om. EHKθ. — [12] ἐκ EHKθ. - ἐκ om. vulg. - ἐκπονεῖ (E, emend. al. manu) FGHIJK, Ald. - ὅταν θ. - περεώσῃ FGI. - παρεώσῃ Ald. - παιρεωσῃ (sic) θ. - ἐὼν θ, Mack. - ὢν vulg. — [13] πολλῆς EHIJKθ, Lind., Mack. - ἐμπίμπλησι Zwing. - τὴν δὲ τὴν χώρην θ. - νῶτον G. - ὅπου θ. - μὴ om. FGIJ. — [14] αἱ ponitur ante τῶν θ. - δυνάμιες θ, Lind., Mack. - δυνάμεις vulg. - τὰς θ, Mack. - τὰς om. vulg. — [15] ἐμπ. (ἐσπ., H al. manu ἐμπ., IJ) ξηρότερά πως ἐστί· τὰ δὲ ἀπὸ χιόνος vulg. - ἐσπίπτοντα ἢ ἀπὸ χιόνος θ. - λιμναίων EH. - ζῶια θ.

sains. Il faut juger ainsi des causes qui déterminent chacun de ces vents : l'aquilon souffle froid et humide parce qu'il part de lieux froids et humides et traverse des lieux froids et humides que le soleil ne visite pas et dont il ne dessèche pas l'air, n'absorbe pas l'humidité ; de la sorte il arrive à la terre habitée avec sa propriété native, là où cette propriété n'est pas altérée par le site local ; il est le plus froid pour les habitants les plus voisins, le moins froid pour les plus éloignés. Le vent du midi souffle de points dont la nature est semblable à celle de l'aquilon ; car, partant du pôle méridional, et venant d'une neige abondante, de glaces et de fortes gelées, il est nécessairement, pour ceux qui habitent là, près de lui, tel qu'est l'aquilon chez nous. Mais il ne garde pas ce caractère pour tous les pays ; en effet, soufflant par la route du soleil et sous le midi, il a son humidité absorbée par l'astre ; or, desséché, il se raréfie ; aussi, nécessairement, il arrive ici chaud et sec. C'est donc cette qualité chaude et sèche qu'il manifeste dans les pays les plus voisins, et c'est ce qu'il fait dans la Libye. Il y dessèche les productions de la terre, et il y exerce sur les hommes, à leur insu, la même action ; n'ayant à prendre l'humide ni à une mer ni à un fleuve, il le prend aux animaux et aux productions. Mais quand, étant chaud et raréfié, il a traversé la mer, il emplit d'humidité la région sur laquelle il arrive ; et nécessairement le vent du midi est chaud et humide là où le site local n'y met pas obstacle. Les propriétés des autres vents dépendent de conditions semblables. Quant à chaque contrée, voici comment les vents se comportent : les vents venant ou de la mer ou de neige, ou de glaces, ou d'étangs, ou de fleuves sont tous humectants et refroidissants, soit pour les végétaux, soit pour les animaux, et sont salubres, du moins ceux dont le froid n'est pas excessif ; mais ceux-là nuisent parce qu'ils causent, dans les corps, de grands changements du chaud et du froid ; et c'est ce qui arrive dans les lieux marécageux et chauds près de fleuves considérables. Mais les autres vents qui

καὶ ψύχει καὶ τὰ φυτὰ καὶ τὰ ζῶα, καὶ [1]ὑγείην τοῖσι σώμασι παρέχει ὁκόσα μὴ ὑπερβάλλει ψυχρότητι· [2]καὶ ταῦτα δὲ βλάπτει, διότι μεγάλας τὰς μεταβολὰς ἐν τοῖσι σώμασιν [3]ἐμποιέει τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ· ταῦτα δὲ πάσχουσιν ὅσοι ἐν χωρίοις οἰκέουσιν ἑλώδεσι καὶ [4]θερμοῖσιν ἐγγὺς ποταμῶν ἰσχυρῶν. Τὰ δ' ἄλλα τῶν πνευμάτων [5]ὁκόσα πνέει ἀπὸ τῶν προειρημένων, ὠφελέει, τόν τε ἠέρα καθαρὸν καὶ εἰλικρινέα παρέχοντα καὶ τῷ τῆς ψυχῆς θερμῷ ἰκμάδα διδόντα. [6]Ὁκόσα δὲ τῶν πνευμάτων κατὰ γῆν παραγίνεται, ξηρότερα ἀνάγκη εἶναι, ἀπό τε τοῦ ἡλίου ἀποξηραινόμενα [7]καὶ ἀπὸ τῆς γῆς· οὐκ ἔχοντα δὲ τροφὴν ὁκόθεν σπάσεται, τὰ πνεύματα, [8]ἐκ τῶν ζώντων ἕλκοντα τὸ ὑγρὸν, βλάπτει καὶ τὰ φυτὰ καὶ τὰ [9]ζῶα πάντα. Καὶ ὁκόσα ὑπὲρ τὰ ὄρεα ὑπερπίπτοντα παραγίνεται ἐς τὰς πόλιας, οὐ μόνον ξηραίνει, ἀλλὰ [10]καὶ ταράσσει τὸ πνεῦμα ὃ ἀναπνέομεν, καὶ τὰ σώματα τῶν ἀνθρώπων, [11]ὥστε νούσους ἐμποιέειν. Φύσιν μὲν οὖν καὶ δύναμιν ἑκάστων [12]οὕτω χρὴ γινώσκειν· ὅκως δὲ χρὴ πρὸς ἕκαστα [13]παρεσκευάσθαι, προϊόντι τῷ λόγῳ δηλώσω.

39. Σιτίων δὲ καὶ πομάτων [14]δύναμιν ἑκάστων καὶ τὴν κατὰ φύσιν καὶ τὴν διὰ τέχνης ὧδε χρὴ γινώσκειν. [15]Ὁκόσοι μὲν οὖν κατὰ παντὸς ἐπεχείρησαν εἰπεῖν [16]περὶ τῶν γλυκέων [17]ἢ [18]λιπαρῶν ἢ ἁλυκῶν ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων τῆς δυνάμιος, οὐκ ὀρθῶς γινώσκουσιν· οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχουσιν οὔτε τὰ γλυκέα ἀλλήλοισιν οὔτε τὰ [19]λιπαρὰ οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν· πολλὰ γὰρ τῶν [20]γλυκέων διαχωρέει καὶ ἵστησι καὶ ξηραίνει καὶ ὑγραίνει. Ὡσαύτως δὲ καὶ τῶν ἄλλων ἁπάντων· [21]ἐστὶ δὲ ὅσα στύφει

[1] Ὑγιείην E. – τοῖσι EHθ. – τοῖς vulg. – ὑπερβάλλει Jθ. – ὑπερβάλλῃ vulg. — [2] καὶ θ. – καὶ om. vulg. — [3] ποιέει FGIJ. — [4] θερμοῖσιν θ, Mack. – θερμοῖς vulg. — [5] ὅσα GIJθ. – ὠφελέειν FG. – καθαίροντα pro καθαρὸν θ. — [6] ὅσα θ. – παραγίγνεται θ. — [7] καὶ ἀπό τε τῆς FGIJ, Ald. – δὲ om. J. – τε pro δὲ FGI. – σπάσηται vulg. – ἐπαγάγηται θ. – J'ai mis l'indicatif sans mss. — [8] ἐκ θ. – ἀπὸ vulg. — [9] Ante ζ. addunt ἄλλα EK. – πάντα om. EHKθ. – καὶ ὁκόσα περ τὰ ὄρεα καταλιπόντα (καταλείποντα H, λιπόν al. manu; καταλίποντα (sic) E) vulg. – καὶ ὅσα ὑπὲρ τὰ ὄρεα ὑπερπίπτοντα θ. — [10] καὶ om. P'. – καταράσσει pro καὶ τ. Q'. – τὸ σῶμα EHK. — [11] ὥστε νούσους ἐμποιέειν EHKθ, Zwing. in marg., Lind., Mack. – ἐπίνοσα ἐμποιέει pro ὥστε νούσους ἐμ. vulg. — [12] οὕτως E. – ὅπως pro ὅκως θ. — [13] παρεσκευάσθαι θ. – παρασκευάζεσθαι vulg. – σίτων καὶ ποτῶν θ. — [14] δ. (καὶ δ. J) ἑκ. οὕτω χρὴ γιν. καὶ τὴν κατὰ φύσιν δύναμιν καὶ τὴν διὰ τέχνης FJ. – δύναμιν ἑκάστων οὕτω χρὴ γινώσκειν· ὅκως δὲ χρὴ πρὸς ἕκαστα παρασκευάζεσθαι προϊόντι τῷ λόγῳ δη-

soufflent des points sus-dits sont utiles, rendant l'air pur et clair et donnant de l'humide au chaud de l'âme. Les vents de terre sont nécessairement plus secs, étant desséchés et par le soleil et par la terre; ils n'ont pas d'où tirer de l'aliment, enlèvent l'humide aux êtres vivants, et nuisent à tous, végétaux et animaux. Les vents qui passent par dessus des montagnes pour arriver dans les villes, non-seulement sont desséchants, mais encore troublent l'air respiré et le corps humain de manière à produire des maladies. Tel est le jugement qu'il faut porter sur la nature et les propriétés de chaque vent; quant aux moyens de se préserver de chacune de leurs influences, je l'expliquerai plus loin dans ce discours.

39. (*Des propriétés des aliments et des boissons. On ne peut traiter en général des substances douces, âcres, acides, etc.; il faut les prendre une à une.*) Les qualités, tant naturelles qu'artificielles, de chaque aliment et de chaque boisson seront appréciées ainsi : ceux qui ont essayé de traiter en général des propriétés soit des substances douces, soit des grasses, soit des salées, soit de toute autre de ce genre, n'ont pas une vue juste; en effet, les mêmes propriétés n'appartiennent ni à toutes les substances douces, ni à toutes les substances grasses, ni à aucune autre semblable; et il est des substances douces qui relâchent, qui resserrent, qui dessèchent, qui humectent. La même remarque s'applique à toutes les classes; dans chacune il est des substances astringentes, minoratives, diurétiques, ou

λώσω· σιτίων δὲ καὶ πομάτων δύναμιν ἑκάστων οὕτω χρὴ διαγινώσκειν (γινώσκειν I), καὶ τὴν κατὰ φύσιν δύναμιν καὶ τὴν διὰ τέχνης GI. - ἕκαστον Gal. in cit. De Alim., I. — [15] ὅσοι θ. - οὖν om. θ. — [16] ἢ περὶ vulg. - ἢ om. θ. — [17] καὶ pro ἢ EQ'. — [18] ἢ πικρῶν ἢ περὶ τῶν addunt ante λιπαρῶν Lind., Mack. - Mack dit que θ a sa leçon; ma collation porte celle de vulg. - ἁλυκῶν J. - ἁλικῶν vulg. - ἁλμυρῶν EHKQ', Lind., Mack. - δυνάμιος EHI), Lind., Mack. - δυνάμεως vulg. — [19] λιπαρὰ θ. - πικρὰ pro λιπαρὰ vulg. — [20] γλυκέων θ. - τοιούτων pro γλ. vulg. - ἃ καὶ (ὅσα pro ἃ καὶ Lind.) διαχωρέει vulg. - ἃ καὶ om. (H, restit. al. manu) θ. - διαχωρέει, τάδ' ἵστησι, (addit καὶ Q') τάδε ὑγραίνει, τάδε ξηραίνει EHKQ'. - διαχωρέει, τὰ δ' ἵστησι, τὰ δὲ ξηραίνει, τὰ δὲ ὑγραίνει θ. - διαχωρέει καὶ ἵστησι· καὶ [ὅσα] ξηραίνει καὶ ὑγραίνει Lind. — [21] ἔτι pro ἐστὶ Zwing. in marg., Lind. - δ' EHK.

καὶ διαχωρέεται [1]καὶ οὐρέεται, τὰ [2]δὲ οὐδέτερα τούτων. Ὡσαύτως δὲ καὶ τῶν θερμαντικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἄλλην ἄλλα δύναμιν ἔχει. Περὶ μὲν οὖν ἁπάντων [3]οὐχ οἷόν τε δηλωθῆναι ὁκοῖά τινά ἐστι· καθ' ἕκαστα δὲ ἥντινα δύναμιν ἔχει διδάξω.

40. Κριθαὶ [4]φύσει μὲν ψυχρὸν καὶ ὑγρὸν καὶ ξηραίνει· ἔνι δὲ καὶ καθαρτικόν τι ἀπὸ τοῦ χυλοῦ τοῦ ἀχύρου· τεκμήριον δὲ, [5]ἢν μὲν θέλῃς κριθὰς ἀπτίστους ἑψῆσαι, καθαίρει ὁ χυλὸς ἰσχυρῶς· εἰ δὲ [6]ἐπτισμένας, ψύχει μᾶλλον καὶ ἵστησιν· ὁκόταν δὲ πυρωθῶσι, τὸ μὲν ὑγρὸν [7]καὶ καθαρτικὸν ὑπὸ τοῦ πυρὸς [8]οἴχεται, τὸ δὲ ψυχρὸν καὶ ξηρὸν καταλείπεται. Ὁκόσα [9]δὲ δεῖ ψῦξαι καὶ ξηρῆναι, ἄλφιτα [10]διαπρήσσεται ὧδε χρεομένῳ μάζῃ παντοδαπεῖ, δύναμιν δὲ ἔχει ἡ μᾶζα τοιήνδε. Τὰ συγκομιστὰ ἄλευρα τροφὴν μὲν ἔχει ἐλάσσω, διαχωρέει δὲ μᾶλλον· τὰ δὲ καθαρὰ τροφιμώτερα, ἧσσον δὲ διαχωρέει. Μᾶζα προφυρηθεῖσα, ῥαντὴ, ἄτριπτος, [11]κούφη, [12]καὶ διαχωρέει, καὶ [13]ψύχει· ψύχει μὲν ὅτι ψυχρῷ ὕδατι ὑγρὴ ἐγένετο, διαχωρέει δὲ [14]ὅτι ταχέως πέσσεται, κούφη δὲ [15]ὅτι πολὺ τῆς τροφῆς μετὰ τοῦ πνεύματος ἔξω ἀποκρίνεται. [16]Στενωπότεραι γὰρ αἱ διέξοδοι τῇ τροφῇ ἐοῦσαι ἄλλην ἐπιοῦσαν οὐκ ἐπιδέχονται· καὶ τὸ μὲν ξὺν τῷ πνεύματι λεπτυνόμενον ἀποκρίνεται ἔξω, τὸ δ' αὐτοῦ [17]ἐμμένον φῦσαν ἐμποιέει· καὶ τὸ μὲν ἄνω ἐρυγγάνεται, τὸ δὲ κάτω ὑποχωρέει· [18]πολὺ οὖν τῆς τροφῆς ἀπὸ τοῦ σώματος [19]ἀποπνέεται. Ἢν δὲ θέλῃς τὴν

[1] Τὰ δὲ pro καὶ (H, al. manu καὶ) (δ' θ). — [2] δ' θ. - οὐθ' ἕτερα FGHIJK, Ald., Frob., Zwing., Lind., (Mack, οὐθ'). - οὐθάτερα (sic) E. — [3] οὐχ οἴονται (sic) θ. - ὁποῖα θ. — [4] φύσι θ. - ψυχρὸν (ὑγρὸν pro ψ. G, Ald.) καὶ ξηρόν· ἔνι vulg. - ὑγρὸν καὶ ψυχρόν· ἔνι K. - ψυχρὸν καὶ ὑγρὸν καὶ ξηραίνει· ἔνι θ, Mack. - τι om. EGθ. — [5] εἰ μὲν θέλεις EHK. - ἐθέλοις ἀπτίστους κριθὰς θ. - κριθοὺς FGJ. - ἰσχυρῶς ὁ χυλὸς J. — [6] ἐπτισμένας K, Mack. - ἐπτισμένους vulg. - πτίσας θ. - πτίσαι, al. manu ἐπτισμένους EH. - ψύχει μ. καὶ ἵστησιν θ. - ψύξει μ. καὶ συστήσει (συνστήσει I; στήσει K) vulg. - ὅταν θ. — [7] καὶ θ. - τὸ pro καὶ J. - καὶ om. vulg. — [8] παύεται θ, Mack. - τὸ δὲ καταλειπόμενόν ἐστι (ἐστι om. θ) ψυχρὸν καὶ ξηρὸν EHKθ. — [9] οὖν pro δὲ θ. - ξηρῆναι θ, Lind., Mack. - ξηρᾶναι vulg. - ἄλφιτον θ. — [10] διαπρήσσεται ὧδε. Χρώμεθα vulg. - διαπρήσσεται. Ὧδε χρώμεθα Ald. - διαπρήσσεται ὧδε χρεομένῳ θ. - παντοδαπῇ EHJKθ, Zwing., Lind., Mack. - ἡ μᾶζα αὕτη vulg. - αὕτη om. (H, restit. al. manu) θ, Mack. - ἡ μάζη EH. — [11] κουφοῖ K', Mack. — [12] καὶ om. θ. — [13] ψύχει om. (E, restit. al. manu) FGHIJK, Ald. - διότι θ. - ψυχρὴ (E, eadem manu supra lin. ὑγρὴ) L, Zwing. in marg., Lind., Mack. - Mack dit que θ a ψυχρή; ma collation porte ὑγρή. - ἐγγένεται (sic) pro ἐγένετο J. — [14] διότι παχέως θ. — [15] ὅτι πολλῆς τροφῆς vulg. - ὅτι πουλὺ τροφῆς Lind.,

n'ayant ni l'une ni l'autre de ces vertus. Il en est de même des substances échauffantes et du reste ; les unes ont une propriété, les autres une autre. Il n'est donc pas possible de dire en général ce qu'il en est ; et je les prendrai une à une pour en enseigner la propriété.

40. (*De l'orge, et de la polenta ou pâte faite avec le gruau d'orge.*) L'orge est naturellement froide, humide, et elle dessèche ; elle a aussi quelque chose de purgatif qu'elle tient du suc de sa balle ; voulez-vous vous en assurer ? faites bouillir de l'orge non mondé, et vous verrez que cette eau est fortement relâchante. Mais l'orge mondé est plutôt rafraîchissant et resserrant. Dans l'orge passée au feu, la partie humide et purgative a été enlevée par l'action de la chaleur, et il reste la partie froide et sèche. Dans tous les cas où il faut refroidir et dessécher, le gruau d'orge le procure à celui qui use ainsi de la polenta préparée d'une façon quelconque ; telle est, en effet, la propriété de la polenta. Les farines non blutées sont moins nourrissantes et donnent plus d'évacuations alvines ; blutées, elles sont plus nourrissantes et donnent moins d'évacuations. La polenta, pétrie d'avance, humectée, non broyée, est légère, relâchante et rafraîchissante ; rafraîchissante, parce que c'est l'eau froide qui l'a humectée ; relâchante, parce qu'elle se digère vite ; légère, parce qu'une bonne partie de l'aliment est expulsée au dehors avec l'air. Les voies, étant trop étroites pour l'aliment, n'en acceptent point une nouvelle ingestion ; dès lors une part atténuée avec l'air est expulsée au dehors, l'autre part demeure et produit des flatuosités ;

Mack. – διότι πολλὴ τῆς τροφῆς θ. – Zwing. propose de lire πολλὴ ou πουλύ. Mack dit que θ a πουλὺ τροφῆς ; ma collation a autre chose. Je crois qu'il faut lire : πολὺ τῆς τροφῆς. — [16] στενοπώτεροι vulg. – στεινοπορώτεροι Mack. – στενοπορώτεροι Zwing. in marg., Lind. – στενοτόποροι, supra lin. στενόποροι, in marg. al. manu στενοπώτεραι H. – στενοπώτεραι E. – στενοτοπώτεροι IJ, Ald. – στενότεραι θ. – τῆς τροφῆς οὖσαι vulg. (ἐοῦσαι Mack). – τῇ τροφῇ ἐοῦσαι θ. – οὐκ ἐπιδέχονται θ. – οὐ δέχονται vulg. – σὺν θ. — [17] μένον θ, Mack. – ἄνω om. θ. — [18] πολὺ E. – πουλὺ Zwing. in marg., Lind., Mack. – πολλὴ vulg. — [19] ἀπογίνεται θ. – εἰ δὲ θέλεις EHK (θ, ἐθέλοις). – εὐθέως συνφυρήσας τὴν μάζαν διδόναι θ. – ἰὸν J.

μᾶζαν εὐθέως φυρήσας διδόναι, ἡ τοιαύτη ξηραντική· ἅτε γὰρ τὸ ἄλφιτον ξηρὸν ἐὸν καὶ [1]ὑπὸ τοῦ ὕδατος διάβροχον οὕτω γεγενημένον, ἐσπεσὸν ἐς τὴν κοιλίην, ἕλκει ἐξ [2]αὐτῆς τὸ ὑγρὸν θερμὸν ἐόν· πέφυκε γὰρ τὸ μὲν θερμὸν [3]ψυχρὸν ἕλκειν, τὸ δὲ ψυχρὸν [4]θερμόν· καταναλισκομένου δὲ τοῦ ὑγροῦ ἐκ τῆς κοιλίης ἀνάγκη ξηραίνεσθαι, τοῦ δὲ ὕδατος τοῦ [5]ξὺν τῇ μάζῃ ἐσελθόντος ψύχει ψύχεσθαι ἐπαγομένων. Ὅσα οὖν δεῖ [6]ξηρῆναι ἢ ψῦξαι ἢ διαῤῥοίῃ ἐχόμενον ἢ ἄλλῃ τινὶ θερμασίῃ, ἡ τοιαύτη μᾶζα διαπρήσσεται. [7]Ἡ δὲ ξηρὴ τριπτὴ ξηραίνει μὲν οὐχ ὁμοίως διὰ τὸ πεπιλῆσθαι ἰσχυρῶς, τροφὴν δὲ τῷ σώματι πλείστην δίδωσιν, ἅτε [8]δὴ ἡσυχῇ τηκομένης δέχονται τὴν τροφὴν αἱ δίοδοι· διαχωρεῖ μὲν οὖν βραδέως, φῦσαν δὲ οὐκ ἐμποιέει οὐδὲ ἐρυγγάνεται. Ἡ δὲ προφυρηθεῖσα τριπτὴ τρέφει μὲν ἧσσον, διαχωρέει δὲ, καὶ [9]ἐμποιέει μᾶλλον φῦσαν.

41. Κυκεὼν δὲ σὺν ἀλφίτοισι μοῦνον ἐφ' ὕδατι μὲν ψύχει καὶ τρέφει, ἐπ' οἴνῳ δὲ θερμαίνει καὶ τρέφει καὶ ἵστησιν· ἐπὶ μέλιτι δὲ θερμαίνει μὲν ἧσσον καὶ τρέφει, διαχωρέει δὲ μᾶλλον, ἢν [10]μὴ ἄκρητον ᾖ τὸ μέλι· [11]ἢν δὲ μὴ, οὐ διαχωρέει, ἀλλ' ἵστησιν· ἐπὶ δὲ γάλακτι τρόφιμοι μὲν πάντες, [12]πλὴν ἀλλὰ τὸ μὲν ὄϊον ἵστησι, [13]τὸ δὲ αἴγειον μᾶλλον διαχωρέει, [14]τὸ δὲ βόειον ἧσσον, τὸ δὲ ἵππειον καὶ τὸ ὄνειον μᾶλλον διαχωρέει.

42. Πυροὶ ἰσχυρότεροι κριθῶν καὶ τροφιμώτεροι, διαχωρέουσι δὲ ἧσσον καὶ αὐτοὶ καὶ ὁ χυλός. [15]Ἄρτος δὲ ὁ μὲν συγκομιστὸς ξη-

[1] Ἀπὸ θ. – ἰδιάβροχον (sic) θ. – οὔπω θ. – ἐνπεσὸν θ. — [2] αὐτοῖς Ald. – ἑωυτῆς θ. — [3] τὸ ψυχρὸν θ. — [4] τὸ θερμὸν EHKθ. – καταναλισκομένου θ. – ἀναλ. vulg. — [5] ξὺν EHK, Lind. – σὺν vulg. – ψύχει om. θ. – ψύχεσθαι θ. – ψύχεσθαι om. vulg. – ἐπαγόμενον ὃν θ. – Il faut prendre ψύχει de vulg. et ψύχεσθαι de θ. — [6] ψ. ἢ ξηρ. θ. – διαρροιη (sic) θ. – ἐχόμενον θ, Zwing. in marg., Lind., Mack. – χεόμενον vulg. – θερμασίῃ τοιαύτῃ, μᾶζα vulg. – θερμ., ἡ τοιαύτη μάζη θ. — [7] ἡ K'θ, Lind., Mack. – ἣν vulg. – τριπτῇ J. – πεπειλῆσθαι θ. — [8] γὰρ pro δὴ EHKθ. – τὴν EIθ, Lind., Mack. – τὴν om. vulg. – ὅδοι θ. — [9] φύσην (φύσαν θ) ἐμπ. μάλ. FHKθ. – σὺν ἀλφίτοισι θ, Mack. – σὺν ἀλφ. om. vulg. – μοῦνον θ. – μόνον vulg. – μὲν om. θ, Mack. – La base du cycéon était le gruau d'orge qu'on humectait avec de l'eau, ou du vin ou du lait. On y ajoutait tantôt du miel, tantôt du fromage, tantôt du sel, tantôt des herbes et des fleurs, de sorte que c'était tantôt une bouillie épaisse et tantôt un breuvage. — [10] ἄτηκτον pro μὴ ἄκρητον θ. – μὴ om. Mack. – Mack dit que θ a ἄκρητον; ma collation porte ἄτηκτον. — [11] εἰ EHKθ. – οὐ διαχ. ἀλλ' om. EHKθ. – γάλακτι EHKθ, Mack. – γάλακτος vulg. – ἐπὶ γάλακτος δὲ Lind. — [12] ἀτὰρ pro πλὴν ἀλλὰ EHKθ. – γάλα pro ἀλλὰ Lind., Mack. – Mack dit que

ces flatuosités sortent les unes par le bas, les autres par le haut; de la sorte une bonne partie de l'aliment est exhalée hors du corps. La polenta, donnée aussitôt qu'elle est pétrie, est desséchante; car le gruau d'orge, étant sec et étant ainsi humecté par l'eau, est introduit dans le ventre et en tire, grâce à sa chaleur, l'humide; en effet, naturellement, le chaud attire le froid, et le froid attire le chaud. Le liquide qui est dans le ventre se consume et se dessèche nécessairement, et celui qui y est appelé se refroidit par le froid de l'eau introduite avec la polenta. Ainsi, dans tous les cas où il faut sécher ou refroidir soit qu'il s'agisse d'une diarrhée ou de tout autre échauffement, la polenta ainsi préparée y est bonne. La polenta sèche, broyée, ne dessèche pas semblablement parce qu'elle est fortement condensée; mais elle donne le plus de nourriture au corps, vu que, se fondant lentement, elle fournit aux voies un aliment qu'elles reçoivent. Elle donne lentement les selles, mais elle ne cause ni flatuosités ni rapports. La polenta pétrie d'avance et broyée nourrit moins, donne des selles et produit plus de flatuosités.

41. (*Du cycéon, voy. note 9. Du lait.*) Le cycéon avec le gruau d'orge, rafraîchit et nourrit préparé à l'eau seule; préparé au vin, échauffe, nourrit et resserre; préparé au miel, échauffe et nourrit moins, mais donne plus de selles, si le miel est coupé; s'il ne l'est pas, loin de donner des selles; il resserre. Avec le lait, tous les cycéons sont nourrissants; seulement le lait de brebis resserre, le lait de chèvre relâche, le lait de vache moins, le lait de cavalle et celui d'ânesse davantage.

42. (*Du blé, du pain, de la farine.*) Le blé a plus de force et est plus nutritif que l'orge, mais il évacue moins, soit le grain même soit la décoction. Le pain bis dessèche et évacue, le pain blanc nourrit davantage, évacue moins. Quant aux

θ a γάλα; ma collation a ἀτὰρ sans πλήν. – τὸ βέἶον μὲν pro τὸ μὲν δἶον θ. — [13] ἀτὰρ τὸ pro τὸ δὲ θ. – διαχωρέει om. Lind. — [14] τὸ.... διαχωρέει om. FGIJ. – δὲ EHKθ, Ald., Lind., Mack. – δὲ om. vulg. – οἶον (sic) pro βόειον θ. – Ἵππιον θ. — [15] ἄρτων K. – ἄρτος μὲν ὁ E. – συγκομιστὴς F.

ραίνει καὶ διαχωρέει, ὁ δὲ καθαρὸς τρέφει μὲν μᾶλλον, [1]διαχωρέει δὲ ἧσσον. Αὐτῶν δὲ τῶν ἄρτων ὁ μὲν ζυμίτης κοῦφος καὶ διαχωρέει· [2]καὶ κοῦφος μέν ἐστιν, ὅτι ἀπὸ τῆς ζύμης τοῦ ὀξέος τὸ ὑγρὸν προανάλωται, ὅπερ ἐστὶν ἡ τροφή· διαχωρέει [3]δὲ ὅτι ταχέως πέσσεται. Ὁ δὲ ἄζυμος [4]διαχωρέει μὲν ἧσσον, τρέφει δὲ μᾶλλον. Ὁ δὲ τῷ χυλῷ πεφυρημένος [5]κουφότερος, καὶ τρέφει ἱκανῶς, καὶ διαχωρέει· τρέφει μὲν ὅτι καθαρὸς, κοῦφος δέ [6]ἐστιν ὅτι τῷ κουφοτάτῳ πεφύρηται καὶ ἐζύμωται ὑπὸ τούτου [7]καὶ πεπύρωται· διαχωρέει δὲ ὅτι τῷ γλυκεῖ καὶ διαχωρητικῷ τοῦ πυροῦ συμμέμικται. [8]Αὐτῶν δὲ τῶν ἄρτων οἱ μέγιστοι τροφιμώτατοι, διότι ἥκιστα ἐκκαίονται ὑπὸ τοῦ πυρὸς τὸ ὑγρόν· καὶ οἱ [9]ἰπνῖται ἄρτοι τροφιμώτεροι τῶν ἐσχαριτῶν καὶ ὀβελιέων, διότι ἧσσον ἐκκαίονται [10]ὑπὸ τοῦ πυρός. Οἱ δὲ κλιβανῖται καὶ [11]οἱ ἐγκρυφίαι ξηρότατοι, οἱ μὲν διὰ τὴν σποδὸν, οἱ δὲ διὰ τὸ ὄστρακον [12]ἐκπινόμενοι τὸ ὑγρόν. Οἱ δὲ σεμιδαλῖται ἰσχυρότατοι πάντων τούτων, ἔτι δὲ μᾶλλον καὶ οἱ ἐκ τοῦ χόνδρου καὶ τρόφιμοι σφόδρα, [13]πλὴν οὐ διαχωρέουσιν ὁμοίως. Ἄλητον καθαρὸν [14]πινόμενον ἐφ' ὕδατι ψύχει, καὶ πλῦμα σταιτὸς [15]ἐπὶ πυρί. Πιτύρων χυμὸς ἑφθὸς κοῦφος [16]καὶ διαχωρέει. Τὰ δὲ ἐν γάλακτι ἑψόμενα ἄλητα διαχωρέει μᾶλλον ἢ [17]τὰ ἐν τῷ ὕδατι, διὰ τοὺς ὀῤῥοὺς, καὶ μάλιστα ἐν τοῖσι διαχωρητικοῖσιν. Ὁκόσα δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ [18]ἕψεται ἢ ὀπτᾶται ἐξ ἀλήτων, πάντα καυσώδεα καὶ ἐρευγμώδεα· ἐρευγμώδεα μὲν ὅτι τρόφιμα ἐόντα οὐ διαχωρητικά ἐστι, [19]καυσώδεα δὲ διότι λιπαρὰ

[1] D'après Mack, θ a διαχωρέεται. Ma collation n'en dit rien. – ζημίτης Ald. – ζυμείτης θ. — [2] καὶ om. EHKθ. – ἐστιν om. EHKθ. – προανάλωται θ. – προσανάλωται vulg. — [3] δ' ὅτι θ. — [4] διαχωρέεται θ. — [5] κουφότατος θ. – καὶ τρέφει δὲ θ. — [6] ἐστιν om. (H, restit. al. manu) θ. – ἐζήμωται Ald. – τουτέου Mack. — [7] καὶ π. om. EP'. – δ' ὅτι θ. – τὸ γλυκὺ καὶ (καὶ om. E) διαχωρητικὸν EHθ. – πυροῦ Kθ, Zwing., Lind., Mack. – πυρὸς vulg. — [8] καὶ αὐτῶν δὲ θ. – ὅτι θ. – ἐκκαίεται Lind. — [9] ἰπνεῖται Hθ. – ἰπνίται FGIK, Ald., Frob., Zwing., Lind. – ἄρτοι om. (H, restit. al. manu) θ. – τροφιμώτατοι, emendatum eadem manu H. – τροφιμώτεροι post ὀβελ. E. – ὀβελιαίων θ. – Post διότι addit περιπλάσσεται τος (sic) ταῖς (sic) ὀβολίσκοις (sic) θ. – Je crois qu'il faut lire ἄρτος au lieu de τος; mais, du reste, je ne sais ce qu'il faut faire de ces mots. — [10] ἀπὸ EK. – κλιβανῖται EIJ. – κλιβανεῖται θ. — [11] οἱ om. θ. – ἐνκρυφίαι Hθ. — [12] ἐκπίνονται HKθ. – ἐκπίνοντος, al. manu ἐκπινόμενον E. – σεμιδαλῖται EJ. – σιμιδαλειται (sic) θ. – τούτων πάντων θ. — [13] οὐ μέντοι pro πλὴν οὐ (H, πλὴν restit. al. manu) θ, Zwing. in marg. – Post οὐ addunt μέντοι K; μέν τι E. – διαχωροῦσιν HJK. – Post ὁμοίως addit ἄρτοι θερμοὶ μὲν ξηραίνουσι, ψυχροὶ δὲ ἧσσον· ἰσχνασίην δέ τινα παρέχουσιν Lind. – Cette

pains eux-mêmes, le pain fermenté est léger et évacue, léger parce que l'acide du ferment a consumé préalablement l'humide, qui est l'aliment; évacuant, parce qu'il se digère vite. Le pain azyme évacue moins, nourrit davantage. Le pain pétri avec la décoction de blé est plus léger, nourrit assez et évacue; il nourrit parce qu'il est fait de farine pure; il est léger parce qu'il a été pétri avec la substance la plus légère, fermenté avec la même et passé au feu; il évacue parce qu'il est mélangé avec la partie douce et évacuante du blé. Les plus gros pains sont les plus nourrissants, parce que ce sont ceux dont le feu enlève le moins d'humide. Les pains de four nourrissent plus que les pains cuits sur l'âtre et à la broche, parce qu'ils ont senti moins le feu. Les pains de tourtière et les pains cuits sous la cendre sont les plus secs; ceux-ci, à cause de la cendre, ceux-là, à cause de la tourtière, perdent l'humidité. Les pains de fleur de farine sont les plus forts de tous, et encore plus ceux de gruau, qui sont très-nourrissants, mais qui n'évacuent pas autant. La farine blutée, bue dans de l'eau, rafraîchit ainsi que la lavure de pâte qu'on met sur le feu. Le suc de son est, étant cuit, léger et évacuant. La farine cuite dans le lait évacue plus que la farine cuite à l'eau, à cause du petit lait, surtout si on la donne avec des substances évacuantes. Tout mets de farine, bouilli ou grillé avec du miel et de l'huile, cause de la chaleur et des flatuosités; des flatuosités, parce que, étant nourrissant, il n'est pas évacuant; de la chaleur, parce que les ingrédients, étant gras, doux, discordants entre eux et ne réclamant pas la même cuisson,

phrase se trouve plus bas, p. 542, l. 9, où Linden l'a omise. C'est un déplacement qu'il a opéré. — [14] καὶ πεινόμενον (sic) θ. - ἐφ' EHKLθ, Zwing. in marg., Lind., Mack. - ἐν vulg. — [15] πυροῦ sine ἐπὶ K'. - Et lotura pollinis tritici, a dit Cornarius dans sa traduction. - πυροῦ Zwing. in marg. - ὀπτὸς pro ἑφθὸς θ. - Mack dit que θ a ὀπτῶν. - κούφως J. — [16] καὶ θ. - καὶ om. vulg. - δ' EHK. - ἑψόμενα θ. - διδόμενα vulg. — [17] τὰ θ. - τὰ om. vulg. - ὅρους θ. - ἐν τοῖσι om., restit. al. manu H. - τῇσι vulg. - τοῖσι EGIJKθ, Zwing., Mack. - σὺν EHKθ. — [18] ἕψεται ἢ ὄπτεται EHIJK (θ, ὀπτᾶται). - ἕψηται ἢ ὄπτηται vulg. - καὶ ἐρευγματώδεά ἐστιν· ἐρευγματώδεα θ. - διότι HKθ. — [19] καὶ καυσ. HK. - ἐόντα om. (H, restit. al. manu) θ.

ἐόντα καὶ γλυκέα [1]καὶ ἀξύμφορα ἀλλήλοισιν, οὐ τῆς αὐτῆς καθεψήσιος δεόμενα, ἐν τῷ αὐτῷ ἐστί. [2]Σεμίδαλις καὶ χόνδρος ἑφθὰ, ἰσχυρὰ καὶ τρόφιμα, οὐ μέντοι διαχωρέει.

43. [3]Τίφη, ζειὰ κουφότερα πυρῶν, καὶ τὰ ἐξ αὐτῶν γενόμενα ὁμοίως [4]τοῖς ἐκ τῶν πυρῶν, καὶ διαχωρητικὰ μᾶλλον. [5]Βρόμος ὑγραίνει καὶ ψύχει [6]ἐσθιόμενος καὶ ῥόφημα γενόμενος.

44. Τὰ πρόσφατα ἄλφιτα καὶ ἄλητα ξηρότερα τῶν παλαιῶν, [7]ὅτι ἔγγιον τοῦ πυρὸς καὶ τῆς ἐργασίης εἰσί· παλαιούμενα δὲ, τὸ [8]μὲν θερμὸν ἐκπνέει, τὸ δὲ ψυχρὸν ἐπάγεται. [9]Ἄρτοι θερμοὶ μὲν ξηραίνουσι, ψυχροὶ δὲ ἧσσον, [10]ἕωλοι δέ τι ἧσσον, ἰσχνασίην δέ τινα παρέχουσιν.

45. Κύαμοι, τρόφιμόν τι καὶ στατικὸν καὶ φυσῶδες· φυσῶδες μὲν ὅτι οὐ δέχονται οἱ πόροι τὴν τροφὴν [11]ἀλέα ἐπιοῦσαν· στάσιμον δὲ ὅτι [12]ὀλίγην ἔχει τὴν ὑποστάθμην τῆς τροφῆς. Οἱ πισσοὶ φυσῶσι μὲν ἧσσον, διαχωρέουσι δὲ μᾶλλον. [13]Ὦχροι δὲ καὶ δόλιχοι διαχωρητικώτεροι τουτέων, ἧσσον δὲ [14]φυσώδεες, τρόφιμοι δέ. Ἐρέβινθοι λευκοὶ διαχωρέουσι καὶ οὐρέονται καὶ τρέφουσι· [15]τρέφει μὲν τὸ σαρκῶδες· οὐρέεται δὲ τὸ γλυκύ· διαχωρέεται δὲ τὸ ἁλμυρόν. [16]Κέγχρων χόνδροι καὶ κυρήβια, ξηρὸν καὶ στάσιμον, μετὰ σύκων [17]ἰσχυρὸν τοῖσι πονέουσιν· αὐτοὶ δὲ οἱ κέγχροι ἑφθοὶ τρόφιμοι, οὐ μέντοι διαχωρέουσιν. [18]Φακοὶ καυσώδεες καὶ ταρακτικοὶ, [19]καὶ οὔτε διαχω-

[1] Καὶ om. EHK. – ἀσύμφορα θ. – ξύμφορα vulg. – οὐ ξύμφορα Zwing., Lind. – Ante ἀλλ. addit δὲ θ. – ἀλλήλοισιν θ. – ἀλλήλοις vulg. – Post ἀλλ. addunt ὄντα EHK (θ, ἐόντα). — [2] ἡ σεμ. E. – ἑφθὰ θ. – ἑφθὸς vulg. – μέντι I. — [3] ἡ (ἡ om. HIK) τρύγις (στρύγις HIK) κουφοτέρα vulg. (κουφότερα Mack). – τιφηζεια (sic) κουφότερα θ. – αὐτῶν θ. – αὐτῆς vulg. – ὅμοια EL, Zwing. in marg., Lind., Mack. — [4] τοῖς (τῶν Lind.) ἐκ E. – ὥσπερ pro τοῖς θ. – τοῖς om. vulg. – καὶ διαχωρέει δὲ μᾶλλον θ. — [5] ὁ βρ. vulg. – ὁ om. IKθ. – βρῶμος EH. — [6] καὶ ἐσθιώμενος (sic) καὶ ῥύφημα πινόμενος θ. – ἄλφητα G. — [7] διότι EHθ. – ἔγγιον EIJK, Zwing., Lind., Mack. – ἐγγεῖον θ. – ἐγγύον vulg. – ἐστὶ θ. — [8] μὲν om., restit. al. manu H. – ἐκπνεῖ θ. — [9] ἄρτοι.... παρέχουσιν om. Lind. – Voy. p. 540, note 13. — [10] ἕωλοι δέ τι ἧσσον θ. – ἕ. δέ τι ἡ. om. vulg. – κοιαμοι (sic) θ. – τι om. (H, restit. al. manu) θ. — [11] ἀλεα (sic) θ. – ἄλλην vulg. (ἄλλην repetitur GI). — [12] ὀλίγην θ. – ὅλην vulg. – οἱ δὲ πισσοὶ EQ' (πισοὶ HK θ). – πισοὶ IJ. – ἧττον, διαχωροῦσι δὲ Gal. in cit. De Facult. alim., I. — [13] ογροι (sic) θ. – δόλιχοι E. – δόληχοι K. – δολίχοι, al. manu δόλιχοι H. – δολιχοὶ vulg. – διαχωρητικώτερα, al. manu τεροι H. – διαχωρητικοὶ θ. – τούτων Eθ, Gal. ib. – Mack dit que θ a διαχωρητικώτεροι. — [14] φυσώδεες θ. – φυσώδεις Gal. ib. – φυσώδεα vulg. – τρόφιμοι θ. – τρόφιμα vulg. – τροφιμώτεροι Gal. ib. – ...

sont dans le même lieu. La fleur de farine et le gruau de blé, cuits, sont forts et nourrissants, cependant ils n'évacuent pas.

43. (*Différentes céréales.*) La tiphé (*froment locular, triticum monococcum*, L.) et l'épautre (*triticum spelta*, L.) sont plus légères que le blé ; et les préparations qu'on en fait plus légères et plus évacuantes que les préparations correspondantes du blé. L'avoine humecte et rafraîchit, en grain et en décoction.

44. (*Comparaison entre les pâtes et les bouillies fraîches ou vieilles.*) Les pâtes et les bouillies dessèchent plus étant fraîches qu'étant anciennes, parce qu'elles sont plus près du feu et de la préparation ; mais, en vieillissant, elles laissent exhaler le chaud, et attirent le froid. Le pain chaud dessèche, le pain froid dessèche moins, le pain rassis encore moins, mais il produit une certaine atténuation.

45. (*Des légumes.*) Les fèves ont quelque chose de nourrissant, de resserrant et de flatueux ; flatueux, parce que les pores ne reçoivent pas la nourriture abondante qu'elles fournissent ; resserrant, parce qu'il n'y a qu'un faible résidu d'aliment. Les pois sont moins flatulents et plus évacuants. La gesse chiche (*lathyrus cicera*, L.) et le baricot sont plus évacuants et moins flatulents que les précédents, ils sont nourrissants. Le pois chiche blanc est évacuant, diurétique et nourrissant ; nourrissant par la partie charnue, diurétique par la partie douce, évacuant par la partie salée. Le gruau de panic (*panicum miliaceum*, L.) et le son qu'il fournit sont

ραίονται θ. — [15] τρέφεται FG. - οὐραίεται θ. — [16] κέγχροι, eadem manu ων K. - χόνδρια θ. - κυδήρια (καὶ βήρια, eadem manu κυδήρια K) vulg. - κυρήβια, κηρύδια Zwing. in marg. - κυρήβια Mack. - κυρίβια legit Foes in notis. - καὶ κυρήβια Lind. - Il faut lire κυρήβια et ajouter, avec Lind., καὶ qui manque dans vulg. - κυρημαξια (sic) θ. - Mack dit que θ a κυρηβάζια. - ξηρὸν καὶ στάσιμον θ. - ξηρὰ καὶ στάσιμα vulg. — [17] ἰσχυρῶν (ἰσχυρῶς, ἰσχυροῖσι Zwing. in marg.; ἰσχυροῖσι Mack) τοῖσι πόνοισιν vulg. - [δὲ] ἰσχυροῖσι πόνοισι Lind. - ἰσχυρὸν τοισι πονέουσιν θ. — [18] φακοὶ δὲ vulg. - δὲ om. θ, Mack. - ταρακτικοὶ θ. - καταῤῥηκτικοὶ vulg. — [19] καὶ om. EHKθ. - διαχωρέουσιν οὔτε ἵστασιν θ. - διαχωρέει οὔθ' ἵστησιν vulg.

ὁκόσα ποταμοὶ ἢ λίμναι ἢ χιόνες ἀποπνέουσιν. Ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω [1]μέχρις ἡλίου τροπέων, ὅκως ἐν τουτέῳ τῷ χρόνῳ ἀφαιρήσει πάντα ὁκόσα ξηρὰ καὶ θερμὰ καὶ μέλανα καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν εἴ τι [2]σμικρὸν ἡδονῆς εἵνεκα. Τὸν ἐχόμενον δὲ χρόνον διαιτήσεται τοῖσι μαλακοῖσι καὶ ὑγροῖσι καὶ [3]ψυκτικοῖσι, λευκοῖσι καὶ καθαροῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης ἡμέρας ἐνενήκοντα τρεῖς. Ἀπὸ δὲ ἰσημερίης ὧδε χρὴ [4]διαιτῆσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ, φυλασσόμενον τὰς μεταβολὰς τῶν ψυχέων καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ· [5]χρέεσθαι δὲ ἐν τουτέῳ τῷ χρόνῳ ἐν ἱματίῳ προκινήσαντα τῇ τε τρίψει καὶ τῇ πάλῃ [6]τῇ ἐν ἐλαίῳ, ἡσυχῇ προσάγοντα· καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ· [7]θερμολουσίῃ τε χρέεσθαι, καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν, καὶ τοῖσι σιτίοισι θερμοτέροισι καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι, καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι [8]δὲ καὶ μὴ ὑδαρέσι, τοῖσί τε λαχάνοισι ξηροῖσιν ἧσσόν τε, τῇ τε ἄλλῃ διαίτῃ [9]προσάγειν πάσῃ τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερίοισι χρέεσθαι μὴ ἐς ἄκρον, ὅκως καταστήσει ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, ἐν [10]ἡμέραις δυοῖν δεούσαιν πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης.

69. [11]Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, ὁκόσοισιν ἐξ ἀνάγκης εἰκῇ τὸν βίον διατελέειν ἐστὶ, μηδ' [12]ὑπάρχει αὐτέοισι τῶν ἄλλων ἀμελήσασι τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι· [13]οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι [14]οὐδὲν ὄφελός ἐστιν οὔτε χρημάτων οὔτε τῶν ἄλλων οὐδενὸς ἄτερ τῆς ὑγιείης, πρὸς τουτέους

[1] Μέχρι H. – τούτω θ. – ἀφαιρήσει (H, al. manu σῃ) θ. – ἀφαιρήσῃ vulg. – ὅσα θ. – θερμὰ καὶ ξηρὰ K. – ἄκρατα JK. — [2] σμικρὸν θ, Mack. – μικρὸν vulg. – ἡδ. παρέχειν εἵν. vulg. – παρέχειν om. (H, restit. al. manu) θ. – μαλθακοῖσι θ. — [3] ψυκτοῖσι E. – Post ψ. addit καὶ vulg. – καὶ om. θ. – καὶ καθαροῖσι θ. – καὶ καθ. om. vulg. – μέχρι H. — [4] διαιτεῖσθαι vulg. – διαιτᾶσθαι θ. – Mack dit que θ a διαιτῆσθαι. – διαιτῆσθαι EHIK, Mack. – ἐν τῇ φθινοπωρινῇ θ. – τοῦ ψύχεος θ. – ἁλέης IJ. – αἰσθῆτι θ. — [5] χρῆσθαι δ' θ. – προκεινήσαντα θ. — [6] τῇ θ. – τῇ om. vulg. – ἁλέῃ IJ. — [7] θερμολουσι τε (sic) χρῆσθαι θ. – θερμολουσίῃσί τε EJK. – ὕπνους ἡμερινοὺς Hθ. – σίτοισι θ. – πώμασι θ. – μελανωτέροισι vulg. – μελανοτέροισι J. – μελαντέροισι θ. — [8] δὲ om. GIJ. – καὶ om. (H, restit. al. manu) θ. – λαχάνοισιν ἧσσον, τῇ τε vulg. – λακάνοισι (sic) ξηροῖσιν ἧσσόν τε, τῇ τε θ. – Mack cite cette variante sans le τε après ἧσσον, ce qui change le sens. — [9] προσάδειν Ald. – τῶν δὲ θ. – ἀφαιρεῦνται J, Ald. – ὑφαιρέοντα θ. – τοῖσι δὲ θ. – χειμερινοῖσι Hθ. – χρῆσθαι θ. – εἰς J. – ὅπως θ. – καταστήσῃ vulg. – εἴ τις τὰ

On se tiendra à ce régime jusqu'au solstice de manière à ôter pendant ce temps tout ce qui est sec, chaud, noir, intempéré, et les pains, si ce n'est quelque petite exception pour se procurer un plaisir. Dans toute cette époque on usera des choses molles, humides, rafraîchissantes, blanches, pures, jusqu'au lever d'Arcturus et à l'équinoxe, pendant quatre-vingt-treize jours. A partir de l'équinoxe on réglera son régime, marchant vers l'hiver dans l'automne; se gardant des changements du froid et du chaud à l'aide d'un vêtement épais. Dans ce temps, on usera, vêtu, de mouvements préalables, puis de la friction, et de la lutte huilée, en procédant graduellement. On se promènera au chaud. On prendra des bains chauds. On supprimera le sommeil de la journée. Les aliments seront plus chauds, moins humides et moins purs. Les boissons seront plus noires, molles et non aqueuses. On mangera des légumes secs et on en mangera moins. On conduira tout le régime en retranchant aux choses de l'été, sans aller trop loin dans les choses de l'hiver, de manière à le mettre aussi près que possible du régime hibernal, pendant quarante-huit jours depuis l'équinoxe jusqu'au coucher des Pléiades

69. (*Règles de régime pour ceux qui ont tout le temps de s'occuper de leur santé. L'auteur indique la découverte hygiénique qu'il a faite.*) Voilà ce que je conseille au commun des hommes qui, de nécessité, doivent vivre à l'aventure sans pouvoir, négligeant tout le reste, s'occuper de leur santé. Mais ceux qui en ont le moyen et pour qui il est bien entendu qu'il n'est aucun besoin de richesses ni de rien autre sans la santé, ceux-là trouveront ici un régime que j'ai découvert et conduit aussi près

pro ἔγγιστα θ. — [10] ἡμέραις Εθ. - ἡμέρῃσι Lind., Mack. - ἡμέραιν vulg. - ἡμέρην GHIK, Ald., Frob., Zwing. - ἡμεροῖν H. - δεούσαις Εθ. - Ante πεντ. addit ἢ vulg. - ἢ om. θ, Lind., Mack. - πλιάδων λύσιος θ. — [11] καὶ ταῦτα μὲν περαινῶ Gal. in cit. in Comm. de Hum., t. XVI, p. 76, ed. Kühn. — [12] ὑπάρχειν FJK. - αὐτοῖσι θ. - ἀμελήσασι θ. - ἀμελήσαντας vulg. - ἑωυτῶν EK. - ἑαυτῶν (ἑ. om., H al. manu ἑωυτῶν, θ) vulg. - ὑγείης GHI. - ἐπιμελέσθαι θ. — [13] ὅτω θ. — [14] οὐδὲ GJ, Ald. - Post χρ. addit οὔτε σώματος vulg. - οὔτε σώματος om. θ, Mack. - ὑγείης HK. - τοιουτέους HK. - τούτοις θ. - ἀνυστὴν J.

ἐστί μοι δίαιτα ἐξευρημένη ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν προσηγμένη. [1]Ταύτην μὲν οὖν προϊόντι τῷ λόγῳ δηλώσω. Τόδε δὲ τὸ ἐξεύρημα καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι, ὠφέλιμον δὲ [2]τοῖσι μαθοῦσιν, οὐδεὶς δέ κω τῶν πρότερον οὐδὲ ἐπεχείρησε συνεῖναι, ὃ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον· ἔστι [3]δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις [4]δὲ τῶν σωμάτων τί πέπονθε, πότερον τὸ σιτίον κρατέει τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία, ἢ μετρίως ἔχει πρὸς ἄλληλα· ἀπὸ μὲν γὰρ τοῦ [5]κρατέεσθαι ὁκοτερονοῦν νοῦσοι ἐγγίνονται· ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα ὑγείη πρόσεστιν. [6]Ἐπὶ ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι καὶ [7]ἐσθίουσιν ἡδέως πονέειν τε δυναμένοισι καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσιν.

70. Αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς [8]ἐμπλάσσονται ἀπὸ τοῦ δείπνου καὶ τοῦ ὕπνου, καὶ δοκέουσι μὲν πλήρεες εἶναι, μύσσονται δὲ οὐδέν· ὁκόταν δὲ περιπατεῖν ἄρξωνται τοῦ [9]ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι, προϊόντος δὲ τοῦ χρόνου [10]καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι, καὶ τὸ μέτωπον ὥσπερ ξυσμὸς λαμβάνει, τῶν τε [11]σίτων ἧσσον ἅπτονται, καὶ πίνειν ἧσσον δύνανται, ἄχροιαί τε τουτέοισιν ὑπογίνονται, [12]καὶ ἢ κατάῤῥοοι κινέονται ἢ πυρετοὶ φρικώδεες, καθ' ὅ τι [13]ἂν τύχῃ τοῦ τόπου ἡ πλησμονὴ κινηθεῖσα. Ὅ τι δ' ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρὸν, τοῦτο [14]αἰτιῆται οὐκ αἴτιον ἐόν· τουτέῳ γὰρ κρατεῦντα τὰ σιτία τοὺς πόνους, κατὰ σμικρὸν

[1] Ταύτη Frob. – προϊόντος τοῦ λόγου θ. – χρόνῳ (E, al. manu λόγῳ) KQ', Zwing. in marg. – τὸ δὲ sine δὲ τὸ θ. – ἐξεύρεμα I. — [2] τοῖς θ. – πω EGIJKθ. – οὐδ' EHKθ. – ἐπεχείρησαι (sic) θ. – συνεῖναι θ. – ξυνθεῖναι vulg. – ὃ om. θ. – ἅπαντα δὴ τἆλλα EHKθ. – τ' ἄλλα J. – κρίνω αὐτὸ εἶναι πουλλοῦ ἄξιον (sine αὐτὸ EHK) (θ, πολλοῦ). – πολλῷ J. — [3] δὲ EHIJKθ, Ald., Zwing. in marg., Lind., Mack. – δὲ om. vulg. – προδιαγνώσεις μὲν πρὸς τὸ κάμνειν, διαγνώσεις θ. — [4] δὲ om. GJθ, Ald. — [5] κρατεῖσθαι ὁπότερον οὖν θ. – ὑγιείη Eθ. — [6] ἐπεὶ θ. – δὲ pro δὴ J. – οἷά ἐστι καὶ γίνεται θ. – γίγνεται HK. – ὑγιαίνειν τε δοκοῦσι θ. – Mack cite θ sans τε. — [7] ἐσθίουσί τε vulg. – τε om. θ. – καὶ χρώματος καὶ σώματος θ. — [8] ἐνπλάσσονται θ. – ἐμπλήσσονται vulg. – ἐμπλήσονται E. – Mack dit que θ a ἐμπλήσσονται. Ἐμπλάσσεσθαι est la bonne leçon, ce mot ayant aussi le sens de ἐμφράσσεσθαι. – ἀπό τε τοῦ δείπνου καὶ τοῦ ὕπνου θ. – καὶ τοῦ ὕπνου om. vulg. – πλήρεις θ. – ὅταν θ. — [9] ἄρθρου (sic) Ald. – καὶ προϊόντος τοῦ vulg. – προϊόντος δὲ τοῦ θ. — [10] καὶ om. K. – βλεφάρεα (sic) θ. – βαρέα om. K. – ὥσπερ ξυσμὸς θ. – ξυσμὴ sine ὥσπερ vulg. – λαμβάνῃ Zwing. — [11] σιτίων JK. – ἀπέχονται vulg. – ἧσσον ἅπτονται θ. – πίνειν τε sine καὶ EHKθ. – ἀχροίη τε τουτέοισιν (addunt καὶ EHQ', Lind.) ἡ χροιὴ γίνεται

de la rigoureuse exactitude qu'il est possible; régime que j'exposerai dans le courant de ce discours. Cette découverte, belle pour moi qui l'ai faite, utile à ceux qui s'en instruisent, découverte à laquelle aucun des devanciers n'a même songé sur un objet qui me paraît être d'une grande valeur pour tout le reste, cette découverte, c'est le pronostic touchant l'imminence de la maladie, et le diagnostic de ce que le corps éprouve, à savoir si l'aliment surmonte l'exercice, ou l'exercice l'aliment, ou si ces deux termes sont dans une juste proportion. En effet le triomphe de l'un des deux, lequel que ce soit, engendre des maladies; et l'égalité réciproque de tous les deux entretient la santé. Je vais donc entrer dans l'exposé de ces formes et montrer ce qu'elles sont chez des hommes semblant en santé, mangeant avec plaisir, pouvant travailler, et ayant le corps et la couleur dans un état satisfaisant.

70. (*Premier cas où les aliments l'emportent sur les exercices. Plénitude caractérisée par l'état des narines et par l'affection de la gorge.*) Les narines sans cause apparente s'obstruent après le dîner et le sommeil; elles paraissent être pleines, et cependant on ne mouche pas. Quand on commence à se promener le matin et à s'exercer, alors on mouche et on crache. Avec le temps, les paupières aussi deviennent pesantes, une sorte de prurit s'empare du front; on a moins d'appétit, et on ne peut pas boire autant; le teint se décolore, et il survient ou des catarrhes ou des fièvres frissonnantes, suivant le lieu où la chance portera le mouvement de la pléthore. Quoi que le hasard fasse faire durant ce temps, c'est à cela qu'on s'en prend comme à la cause; et cependant la cause n'est pas là; mais les aliments ont surmonté les exercices, et la pléthore,

vulg. - ἀχροίη τε (ἄχροιαι sine τε θ) τουτέοισιν ὑπογίνονται H (θ. τούτοισιν). — [12] ἢ οὖν pro καὶ ἡ EHKQ', Lind. - οἱ pro ἡ Zwing. in marg. - καταρροὶ (sic) κεινέονται θ. - Mack dit que θ a κατάῤῥοι. — [13] ἦν pro ἂν EHKθ. - D'après Mack, θ a ἄν. - τόπου θ. - χρόνου pro τόπου vulg. - πλεισμονὴ θ. — [14] αἰτιᾶται θ. - τούτω θ. - κρατευτα (sic) θ. - σμικρὸν EH. - μικρὸν vulg. - μικρὰ θ, Mack. - ἡ πλεισμονὴ θ. - προήγαγεν θ, Mack. - ἤγαγεν vulg. - ἀλλὰ EHKθ. - τούτου θ. - ὅταν θ.

ξυλλεγομένη ἡ πλησμονὴ ἐς νοῦσον προήγαγεν. Ἀλλ' οὐ χρὴ προΐεσθαι μέχρι τουτέου, ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅτι κρατέει τὰ σιτία τοὺς [1] πόνους κατὰ σμικρὸν ξυλλεγόμενα, ἢ πλησμονή ἐστι. [2] Μύξαι γὰρ καὶ σίελα πλησμονῆς ἐστι κρίσις· ἀτρεμίζοντος μὲν δὴ τοῦ σώματος, [3] φράσσουσι τοὺς πόρους τοῦ πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς· θερμαινόμενον δὲ [4] ὑπὸ τοῦ πόνου, ἀποκρίνεται λεπτυνόμενον. Χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπευθῆναι ὧδε· [5] διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον, σιτίσαι παντοδαποῖσι καὶ ποιῆσαι ἐμέσαι· ἐκ δὲ τοῦ ἐμέτου κλύσαι τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως [6] ἂν συστυφῇ τὰ στόματα τῶν φλεβῶν καὶ μηδὲν ἐπικατασπασθῇ, ὁκοῖα γίνεται ἀπὸ ἐμέτων· εἶτα [7] ἐξαναστὰς περιπατησάτω ἐν ἀλέῃ ὀλίγα· ἐς δὲ τὴν ὑστεραίην τοῖσι μὲν περιπάτοισιν [8] αὐτοῖσι χρέεσθαι, τοῖσι δὲ γυμνασίοισιν ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν· καὶ ἀνάριστος διαγέτω, [9] ἢν θέρος ᾖ· ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω· καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ οὗ εἴωθε δειπνεῖν· τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους, τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, [10] ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομιεῖται τὸ σιτίον τὸ εἰθισμένον. [11] Ἢν μὲν οὖν ἀπὸ τουτέου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα τοῖσι μὲν σιτίοισιν ἐλάσσοσι, τοῖσι δὲ πόνοισι πλείοσιν· ἢν [12] δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας ἀφ' ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν καὶ προσαγέτω κατὰ [13] τὰ αὐτά· ἢν δὲ μή, καὶ ἐκ τρίτου, μέχρις ἂν ἀπαλλαγῇ τῆς πλησμονῆς.

[1] Πόνους κατὰ (καὶ τὰ pro κατὰ K; καὶ κατὰ Mack) μικρὸν (μικρὰ Hθ, Mack; σμικρὰ EK) ξυλλεγόμενα (συλλ. IJ; ξυλλεγομένη Zwing. in marg., Lind.) (addunt ἡ θ, Mack) πλησμονή (πλεισμ. θ) ἐστι (ἔσται Zwing. in marg.) vulg. – D'après Mack, θ a καὶ κατά; ma collation ne le dit pas. En tout cas je garde le texte de vulg., sauf ἡ que je prends à θ et que je lis ἢ. — [2] μῦξα γὰρ καὶ σίαλον πλεισμονῆς θ. — [3] φραγνύουσι θ. – σώματος pro πν. P'Q', Zwing. in marg. – πουλλῆς G. – ἐνεούσης om., restit. al. manu H. – πλεισμονῆς θ. — [4] ἀπὸ θ. – λεπτυνόμενα K'. — [5] ἐκπονῆσαι θ. – ἐξεμεύσαι (sic) εὐθὺς σίτοισι χρησάμενον παντοδαποῖσιν pro σιτίσαι.... ἐμέσαι θ. – Mack dit que θ a ἐξεμέσαι. – σιτίσαι om., restit. al. manu H. – καὶ ποιῆσαι ἐμέσαι om., restit. al. manu H. — [6] ἢν, al. manu ἂν H. – συνστυφῇ I. – συστηφῇ G. – στυφῇ K. – στύψη θ. – Mack dit que θ a στύφη. – ἐπισπασθῇ EHK Q', Zwing. in marg. – ἔτι κατασπασθῇ Mercurialis, Mack. – Mack dit que θ a ἐπισπασθῇ; ma collation n'en dit rien. — [7] ἐξαναστὰς θ. – ἀναστὰς vulg. –

s'amassant peu à peu, a conduit à la maladie. Il ne faut pas laisser aller les choses jusque-là, et, dès que vous apercevrez les premiers signes, sachez que les exercices sont surmontés par les aliments s'amassant peu à peu, par quoi la pléthore est produite. En effet la mucosité et la salive sont la crise de la pléthore; le corps étant en repos, elles obstruent les conduits du souffle, vu que la pléthore est considérable; mais, échauffée par l'exercice, l'humeur s'atténue et se sépare. On traitera ce cas ainsi : faire les exercices accoutumés sans courbature, prendre un bain chaud, se remplir d'aliments de toute espèce et se faire vomir. Après le vomissement on se rincera la bouche et la gorge avec un vin astringent, afin que les orifices des veines se contractent et que rien de ce qui provient des vomissements ne soit attiré. Ensuite on fera un tour au chaud. Le lendemain on usera des mêmes promenades, mais les exercices seront moindres et plus légers que précédemment. On ne fera pas de déjeuner, si c'est l'été; si ce n'est pas l'été, on mangera quelque petite chose. Au dîner on retranchera la moitié de ce qu'on y prenait d'habitude. Le surlendemain on reviendra à tous les exercices accoutumés et aux promenades. On augmentera progressivement la nourriture afin de pouvoir, le cinquième jour après le vomissement, manger comme d'habitude. Si cela suffit, le traitement consistera pour le reste en moins de nourriture, en plus d'exercice. Mais si les signes de la plénitude ne disparaissent pas, laissant passer deux jours depuis celui où l'on est revenu à la nourriture habituelle, on vomira de nouveau, et l'on suivra la même augmentation progressive. Si ce n'est pas encore assez, on recommencera une troisième fois, jusqu'à ce qu'on soit débarrassé de la plénitude.

ἀλέη IJ. - τῇ δ' ὑστεραίῃ θ. - ὑστερέην J. — [8] αὐτοῖσι θ. - αὐτοῖσι om. vulg. - χρησάσθω θ. — [9] ἢν θέρος ᾖ om. θ. - δὲ om. θ. - εἴωθε EHKθ, Zwing. in marg., Lind., Mack. - ἤθελε vulg. — [10] ὅπως θ. - κομιεῖ GJ. — [11] κὴν μὲν (μὲν om. K) ἀπὸ τουτέου (τούτου K) vulg. - ἢν μὲν οὖν ἀπὸ τούτου θ. - D'après Mack θ a κὴν. - ἐλάττοσι EHK. — [12] μὲν pro δὲ IJ. - καθέστηκε E. - πλεισμονῆς, διαλειπὼν (sic) θ. — [13] ταὐτὰ EHK. - τωυτὸ θ. - τωυτὰ Mack. - μὴ om. θ. - ἐκ τοῦ τρίτου H. - μέχρι θ. - πλεισμονῆς θ.

71. Εἰσὶ δέ τινες τῶν ἀνθρώπων οἵτινες, [1]ὁκόταν κρατέωνται οἱ πόνοι ὑπὸ τῶν σιτίων, τοιαῦτα πάσχουσιν· ἀρχομένης τῆς [2]πλησμονῆς ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, [3]καί τι τῆς ἡμέρης ἐπικοιμῶνται· ὁ δὲ ὕπνος γίνεται τῆς σαρκὸς ὑγρανθείσης, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζεται διαχεόμενον τὸ πνεῦμα. Ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν [4]πλησμονήν, ἀπόκρισιν ἤδη ἀφίησιν εἴσω ὑπὸ βίης τῆς περιόδου, ἥτις ὑπεναντιουμένη τῇ τροφῇ τῇ ἀπὸ τῶν σιτίων ταράσσει τὴν ψυχήν. Οὐκ ἔτι [5]δὴ κατὰ τοῦτον τὸν χρόνον ἡδεῖς οἱ ὕπνοι, ἀλλ' ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, καὶ δοκέει μάχεσθαι· ὁκοῖα γάρ τινα πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχή, κρυπτομένης τῆς ὄψιος. Ὁκόταν οὖν [6]ἐς τοῦτο ἥκῃ ὥνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν· [7]ὅ τι δὲ ἥξει νούσημα, ἄδηλον· ὁκοίη γὰρ ἂν ἔλθῃ ἀπόκρισις καὶ [8]ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. Ἀλλ' οὐ χρὴ προέσθαι τὸν φρονέοντα, ἀλλ' ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα, [9]τῆς θεραπείης ἔχεσθαι, καὶ δὴ τοῦτον ὥσπερ τὸν πρότερον ἐκθεραπευθῆναι, πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται.

72. Ἔστι δὲ [10]καὶ τὰ τοιάδε τεκμήρια πλησμονῆς· ἀλγέει τὸ σῶμα [11]οἷσι μὲν ἅπαν, οἷσι δὲ μέρος τι τοῦ σώματος ὅ τι ἂν τύχῃ· τὸ [12]δὲ ἄλγος ἐστὶν ὁκοῖον κόπος· δοκέοντες οὖν κοπιῆν, ῥαθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται, μέχρις ἂν ἐς πυρετὸν ἀφικνῶνται· καὶ [13]οὐδέκω οὐδὲ τοῦτο γινώσκουσιν, ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρη-

[1] Ὅταν θ. – ὑπὸ E (H, al. manu ἀπὸ) KQ', Zwing. in marg., Lind. – ἀπὸ vulg. – σίτων θ. – τοιάδε EHQ', Zwing. in marg., Lind. – καὶ τοιάδε θ. — [2] πλεισμονῆς θ. – ἐγγίνονται θ. — [3] καί τι τῆς θ. – καὶ ἐπὶ τῆς vulg. – ὑγρανθείσης om. (E, restit. al. manu) FGHIJKθ, Ald. – D'après Mack θ a ὑγρανθείσης. – γαληνίζεται θ. – γαληνίζει vulg. – διαχεομένου Mack. — [4] πλεισμονὴν θ. — [5] δὴ EHKP'Q'θ, Zwing. in marg., Lind., Mack. – δὴ om. vulg. – ἀλλὰ EHK. – δοκέειν θ. — [6] εἰς EHIJK. – ἥκη (sic) θ. – ὤνθρωπος EHθ. – ὁ ἄνθρωπος vulg. — [7] ὅτι δὲ ἕξει (ἥξει GHIJK, Ald., Zwing., Lind.; ἥξη E) τὸ νούσημα (νόσημα EHJK) μάλα δῆλον· ὁκοία (ὁκοίη Lind., Mack) γὰρ vulg. – ὅτι ἥξει νόσημα ἄδηλον· ὁκοίη γὰρ θ. – Lisez ὅ τι et prenez la leçon de θ. — [8] ὅκου θ, Mack. – ἢν pro ἂν EHK. – ἐνοσοποίησεν θ, Mack. – πρόεσθαι H. – προσείσθαι (sic) θ. – προσείεσθαι Mack. – Mack dit que telle est la leçon de θ. – ἀφρονέοντα vulg. – εὐφρονέοντα E. – φρονέοντα θ, Mack. – ὅταν θ. – τῶν τεκμηρίων om. θ, Mack. — [9] τῆσι θεραπείησιν ὥσπερ τὸν πρῶτον ἐκθεραπευθῆναι θ. – καὶ δὴ τοῦτον om., restit. al. manu H. – δεῖ pro δὴ EIJK. – δεῖται θ. — [10] καὶ τοιάδε τὰ (τὰ om. EK) τεκμήρια vulg. – καὶ τὰ τοιάδε τεκμήρια πλεισμονῆς θ. — [11] οἷσι (bis) θ. – οἷς (bis) vulg. – ὅ τι ἂν τύχῃ om. θ. — [12] δ'

71. (*Deuxième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par la somnolence.*) Il y en a qui, lorsque les exercices sont surmontés par les aliments, présentent ces accidents-ci : au début de la pléthore, ils ont des sommeils prolongés et qui leur sont agréables, ils dorment aussi un peu le jour. Ce sommeil vient de ce que la chair est humectée, le sang se dilate, et le souffle se calme par sa diffusion. Mais quand le corps ne reçoit plus la pléthore, alors il se fait une sécrétion au dedans par la force du mouvement circulaire, lequel, étant opposé à la nourriture fournie par les aliments, trouble l'âme. A ce moment les sommeils ne sont plus agréables, mais nécessairement l'homme est troublé, et il lui semble se battre; en effet ce que le corps ressent, l'âme le voit, quand les yeux sont fermés. A ce point la maladie est proche ; mais quelle maladie? c'est ce qu'on ne sait pas ; car cela dépend de la nature de la matière séparée et de la partie dont cette matière triomphera. L'homme sage ne laissera pas aller les choses jusque-là ; mais, les premiers signes une fois reconnus, on se mettra au traitement, qui sera comme pour le cas précédent; seulement il faut plus de temps et une abstinence plus rigoureuse.

72. (*Troisième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des douleurs générales ou partielles.*) Voici encore des signes de plénitude : le corps est douloureux, chez les uns en totalité, chez les autres en une partie, celle que frappe la chance; cette douleur est comme une courbature. Croyant donc être courbatus, les patients se traitent par le repos et la bombance jusqu'à ce que la fièvre les saisisse; alors même ils se méprennent, et, usant de bains et d'aliments, la maladie devient une péripneumonie qui les met à toute extrémité. Mais

EHK. – οἱονεὶ θ. – καὶ δοκέουσι (δοκοῦντες EHK ; δοκέοντες Q') κοπιῆν vulg. – δοκέοντες οὖν κοπιῆν θ. – τε om. θ. – πλεισμονῇσι θ. – μέχρι ἢν ἐς θ. – μέχρι ἐς, al. manu μέχρι ἂν ἐς H. – ἐς om. E. — [13] οὐδέκω EHP'. – οὐδέπω vulg. – λουτρῇσι G, Ald. – σίτοισι EHθ. – εἰς EHIJK. – περιπν. GJ. – νόσημα EHIJKθ.

σάμενοι ἐς περιπλευμονίην κατέστησαν τὸ νούσημα, καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. Ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν [1]ἂν ἐς τὰς νούσους ἀφικνέωνται, καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ· μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυριῇσι [2]τὸν ἄνθρωπον· εἰ δὲ μὴ, λουσάμενον πολλῷ καὶ θερμῷ, [3]διαλύσαντα τὸ σῶμα ὡς μάλιστα, χρησάμενον [4]τοῖσι σιτίοισι πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν, εἶτα [5]τοῖσιν ἄλλοισιν ἐξεμέσαι εὖ, καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ, ἔπειτα καταδαρθεῖν· πρωῒ δὲ τοῖσι περιπάτοισι [6]πολλοῖσιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι καὶ τοῖσι γυμνασίοισι κούφοισι καὶ τῇσι προσαγωγῇσι καθάπερ καὶ [7]τὸ πρότερον· ἰσχνασίης δὲ τοῦτο πλείστης δέεται καὶ περιπάτων. Ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, [8]προσφέρειν μηδὲν ἄλλο ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν· ἢν μὲν οὖν ἐν [9]ταύτῃσι παύσηται· εἰ δὲ μὴ, πτισάνης χυλῷ θεραπεύεσθαι, [10]καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, [11]εἰ ἐξιδρώσει· ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν ὑπὸ τὰς κρίσιας, ἐξαναγκάζουσι γάρ.

73. Πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ [12]πλησμονῆς· τὴν κεφαλὴν ἀλγέουσι καὶ βαρύνονται, καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου, ἔν τε τοῖς ὕπνοις [13]ταράσσονται, καὶ δοκέει θέρμη ἐνεῖναι, ἥ τε κοιλίη ἐφίσταται ἐνίοτε· ὁκόταν [14]δὲ ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα, ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται· τούτοισιν ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα τήν τε κοιλίην ἐφίστησι, καὶ αὐτὴ βαρύνεται· κίνδυνοί [15]τε ὑπόκεινται κακοὶ, καὶ ὅκη ἂν ῥαγῇ ἡ πλησμονὴ, τοῦτο διαφθείρει. Ἀλλὰ χρὴ προμηθέεσθαι

[1] Ἂν om. EHKθ. – νόσους EGIJ. – ἀφικνέεσθαι, al. manu ἀφικνέωνται H. – ἀφίκηται θ. – μάλιστα μὲν om. FGIJ. — [2] τὸν ἄνθρωπον om. (H, restit. al. manu) θ. – Ante πολλῷ addunt ὕδατι EHKθ, Mack. — [3] διαλούσαντα J. — [4] τῶν σιτίων θ. — [5] τοῖς H. – ἁλυκοῖσιν vulg. – ἄλλοισιν θ. – ὀλίγον χρόνον om. GIJ. – ἀλέη J. – ἔπειτα καταδαρθεῖν om. θ. – καταδραθεῖν EHIJ. — [6] πολλοῖσιν θ. – πολλ. om. vulg. — [7] τὸ om. θ. – οὗτος pro τοῦτο θ. – δεῖται θ. – εἰς E. – ἀφίκηται ἐς πυρετὸν θ. — [8] προσφέρειν EGJKθ, Ald., Zwing., Mack. – προφέρειν vulg. – μηθὲν θ. – ἄλλο om., restit. al. manu H. – ἀλλ' om. θ. – ἡμερέων τριῶν om. FGJ. — [9] ταύτῃσι θ, Mack. – ταύτῃ vulg. – Post παύσηται addit καλῶς ἔχει Charterius. – Cette addition n'est justifiée par aucun manuscrit, et est d'ailleurs inutile. – ἢν δὲ μὴ θ. – πτισσάνης EG, Ald., Lind., Mack. — [10] καὶ om., restit. al. manu H. – ἢ γὰρ pro καὶ ἢ θ. – τεταρταίοις ἢ ἑβδομαίοις EHIJKQ'. – τεταρταίοισιν ἢ ἑβδομαίοισιν P', Mack. — [11] ἢ pro εἰ EHK. – καὶ pro εἰ θ. – χρήμασι τ. ἱδρ. χρῆσθαι? . – ἀναγκάζουσι J. — [12] πλει-

il faut prendre ses précautions contre la maladie imminente et se traiter ainsi : On prendra surtout de molles étuves ; sinon, on se lavera avec beaucoup d'eau chaude, on détendra le corps autant que possible ; et, usant d'aliments d'abord âcres et très-abondants, puis de toute espèce, on vomira bien ; ensuite on fera un jour de peu de durée au chaud, après quoi on dormira. Le matin on fera de grandes promenades, commençant par peu et augmentant graduellement. Les exercices seront légers et graduellement augmentés comme dans le cas précédent. Un état pareil demande beaucoup d'atténuation et de promenades. Si, négligeant les précautions, on arrive à la fièvre, on ne prendra rien autre que de l'eau pendant trois jours ; le mal cesse-t-il dans cet intervalle ? cela suffit ; sinon, on usera de l'eau d'orge, et le troisième ou le quatrième jour le patient sera hors d'affaire s'il a une sueur. Il est bon aussi de l'oindre avec les onguents sudorifiques à l'approche des crises ; car ils provoquent la diaphorèse.

73. (*Quatrième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par la céphalalgie et la pesanteur de tête.*) Quelques-uns présentent ces symptômes-ci de plénitude : ils ont de la céphalalgie et de la pesanteur de tète, les paupières leur tombent après le dîner ; dans le sommeil ils sont troublés, ils semblent avoir de la chaleur fébrile, et quelquefois le ventre se constipe. Après le coït, ils paraissent, pour le moment, être plus à l'aise, mais consécutivement ils se sentent plus pesants. Dans ce cas la tête, agissant par révulsion sur la pléthore, resserre le ventre et devient elle-même pesante. Le danger est grand, et la plénitude corrompt la partie quelconque sur laquelle elle fait irruption. Il faut se précautionner ainsi : veut-on que le traitement soit court ?

σμονῆς θ. -ἀλγέουσι καὶ βαρύνονται θ, Mack. -ἀλγέει καὶ βαρύνεται vulg.- αὐτοῖσιν θ. -τοῖσιν ὕπνοισι Mack. — [12] ταράσσονταί τε καὶ θ. -θερμή, al. manu θέρμη H. -εἶναι θ. — [14] δ' θ. -ὕστερον pro ἐξ ὑστέρου J, Zwing. in marg. -πλεισμονὴν θ. — [15] τε θ, Mack. -δὲ pro τε vulg. -κακοί, καὶ θ, Mack. -κακοί, καὶ om. vulg. -ὄκου θ. -ἢν pro ἂν Hθ. -πλεισμονὴ θ.

ὧδε· ἢν [1]μὲν βούληται τὴν θεραπείην ταχείην ποιέεσθαι, προπυριηθέντα ἐλλεβόρῳ καθαρθῆναι, εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν ἐφ' ἡμέρας δέκα· τοῖσι δὲ [2]σιτίοισι διαχωρητικοῖσιν, ὅκως κρατήσει ἡ κάτω κοιλίη [3]τὴν κεφαλὴν τῇ κάτω ἀντισπάσει· καὶ τοῖσι δρόμοισι βραδέσι καὶ τοῖσιν [4]ὀρθρίοισι περιπάτοισιν ἱκανοῖσι, τῇ τε ἐν ἐλαίῳ πάλῃ· ἀρίστῳ τε χρέεσθαι καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου [5]μὴ μακρῷ· ἀπὸ τοῦ δείπνου δὲ ὁκόσον ἐξαναστῆναι ἱκανόν· καὶ τὸ μὲν λούεσθαι, τὸ δὲ χρίεσθαι, λούεσθαι δὲ χλιερῷ, λαγνείης δὲ ἀπέχεσθαι. Αὕτη μὲν ἡ [6]ταχυτέρη θεραπείη· εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν, λουσάμενον πολλῷ, [7]ἐμέσαι σιτίοισι χρησάμενον τοῖσι δριμέσιν, ὑγροῖσι καὶ γλυκέσι καὶ ἁλμυροῖσιν, ἐξ ἐμέτου δὲ ὅσον ἐξαναστῆναι· πρωῒ δὲ τοῖσι περιπάτοισι πρᾳέσι προσάγειν καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν ἐς ἡμέρας ἕξ· τῇ [8]δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα ἔμετον ποιήσασθαι ἀπὸ τῶν ὁμοίων σιτίων, καὶ προσάγειν κατὰ τωὐτὸ· [9]χρέεσθαι δὲ τούτοισιν ἐπὶ τέσσαρας ἑβδομάδας, μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται· εἶτα προσάγειν [10]τοῖσί τε σίτοισι καὶ τοῖσι πόνοισι, τούς τε ἐμέτους σὺν πλείονι χρόνῳ ποιέεσθαι, τά τε σιτία ἐν ἐλάσσονι προσάγειν, ὅκως τὸ σῶμα ἀνακομίσηται, καθιστάναι [11]τε τὴν δίαιταν ἐς τὸ σύνηθες κατὰ μικρόν.

74. Γίνεται δὲ καὶ τοιάδε ἀπὸ [12]πλησμονῆς· ὁκόσοισιν ἡ μὲν κοιλίη καταπέσσει τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται, ἐμμένουσα [13]ἡ τροφὴ φῦσαν ἐμποιέει· ὁκόταν δὲ ἀριστήσῃ, καθίσταται, ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου τὸ κουφότερον ἐξελαύνεται, καὶ δοκέουσιν ἀπηλλά-

[1] Μὲν θ. – μὲν om. vulg. – ταχεῖαν J. – ταχυτέρην, quod scribitur post ποιέεσθαι θ. – προπυριηθέντα θ. – προπ. om. vulg. – μαλθακοῖσιν θ. – ἐφ' θ (ἐξ E; εἰς K, Ald.). – ἐφ' om. vulg. — [2] ὀπτοῖσι pro σιτίοισι θ. – κρατήσῃ vulg. — [3] τὴν (addunt ἄνω P'Q', Zwing. in marg.) κεφαλὴν (addunt τὴν IJ, Ald.) κάτω (κάτω κεφαλὴν H) ἀντισπάσαι vulg. – τὴν κεφαλὴν [καὶ] κάτω ἀντισπάσῃ Lind. – τὴν κεφαλὴν τῇ κάτω ἀντισπάσι (sic) θ. – Mack dit que θ a ἀντισπάσῃ. — [4] Post ὀρθ. addit καὶ τοῖσι vulg. – καὶ τοῖσι om. θ. – πάλῃ ἐν ἐλαίῳ EHK. – χρήσθω θ. — [5] μὴ EHIKθ. – οὐ vulg. – ὅσον θ. – ὁκόταν pro ὁκόσον Ald. – λοῦσθαι δὲ θ. – λαγνίης θ. — [6] παχυτέρη E. – ταχυτάτη θ. – φαρμακοπωτεῖν (sic) θ. — [7] ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἀλυκῶν vulg. – ἐμέσαι ἐν (ἐν addit. al. manu H) σιτίοισι καὶ γλυκέσι καὶ ἁλμυροῖσι EHK. – ἐμέσαι σίτοισι χρησάμενον τοῖσι δριμέσιν, ὑγροῖσι καὶ γλυκέσι καὶ ἁλμυροῖσιν θ. – πραέσι θ. – πρᾳέσι om. vulg. – γεγραμμένοισιν EHKθ. — [8] δ' θ. – πλεισμονὴν θ. – ποιῆσαι θ. – κατὰ om. H. – τωὐτὸ EHP'Q'θ, Lind., Mack. – τὸ αὐτὸ Zwing.

on prendra d'abord des bains d'étuves, puis on se purgera par l'ellébore, après quoi on augmentera peu à peu ses aliments pendant dix jours; aliments qui seront légers, émollients et favoriseront les évacuations alvines, afin que le ventre inférieur l'emporte sur la tête par la révulsion en bas. On usera de courses lentes, de promenades du matin suffisantes et de la lutte huilée. On déjeunera, et après le déjeuner on dormira, mais peu de temps. Après le dîner on se bornera à un tour de promenade. On se baignera et on s'oindra; le bain sera tiède. On s'abstiendra du coït. Tel est le traitement le plus court. Mais, si l'on ne veut pas prendre un évacuant, on se lavera à grande eau, et l'on vomira après avoir pris des aliments âcres, humides, doux et salés; après le vomissement on fera un tour de promenade. Le matin on fera de douces promenades qu'on augmentera, ainsi que les exercices ci-dessus écrits, pendant six jours. Le septième, on s'emplira des mêmes aliments et l'on vomira, puis on suivra la même progression. On se tiendra à ce régime pendant quatre semaines; car c'est surtout dans cet intervalle que les symptômes disparaissent. Puis on augmentera les aliments et les exercices, on fera les vomissements après un intervalle plus long, et l'on reviendra aux aliments dans un intervalle plus court, afin que le corps se refasse, et qu'il se remette peu à peu à son régime habituel.

74. (*Cinquième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des flatuosités, par la diarrhée et la dysenterie.*) La plénitude produit encore ces symptômes : il est des gens chez qui l'aliment est à la vérité digéré par le ventre, mais n'est pas reçu par les chairs. La nourriture, restant à l'intérieur, cause des flatuosités. Après le déjeuner cela s'apaise; car le plus fort chasse le plus faible; et

- τὸ αὐτὸ vulg. — [9] χρῆσθαι θ. - τέσσερας θ. — [10] τοῖσί τε.... προσάγειν θ. - τοῖσί τε.... προσάγειν om. vulg. - ἀνακομίσηται θ. - κομίσηται vulg. — [11] τε θ. - δὲ vulg. - δίαιταν θ, Zwing. - διαίτην L, Lind., Mack. - αἰτίην vulg. — [12] πλεισμονῆς θ. - μὲν ἡ vulg. - ἡ μὲν θ. - δέχωνται HK. — [13] Ante ἡ addunt δὲ GHIKθ. - ὅταν θ. - καθίστηται EH.

χθαι· τὸ δὲ [1]πολὺ πλέον ἐς τὴν ὑστεραίην παραγίνεται. Ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ [2]ὑπάρχον τῶν ἐπεισενεχθέντων, καὶ ἐξεθέρμηνε, καὶ ἐτάραξεν [3]ἅπαν τὸ σῶμα, καὶ ἐποίησε διαῤῥοίην· τοῦτο γὰρ ὀνομάζεται, ἕως [4]ἂν αὐτὴ μούνη σαπεῖσα ἡ τροφὴ ὑποχωρέῃ. Ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις [5]δριμέα γένηται, τό τε ἔντερον ξύεται καὶ ἑλκοῦται καὶ διαχωρέεται αἱματώδεα, τοῦτο δὲ δυσεντερίη καλέεται, νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. Ἀλλὰ χρὴ προμηθέεσθαι καὶ τὸ ἄριστον ἀφαιρέεσθαι καὶ τοῦ δείπνου τὸ τρίτον μέρος· [6]τοῖσι δὲ πόνοισι πλείοσι, τῇσι πάλῃσι καὶ τοῖσι δρόμοισι καὶ περιπάτοισι χρέεσθαι, ἀπό τε τῶν γυμνασίων καὶ ὄρθρου· [7]ὁκόταν δ' ἡμέραι δέκα γένωνται, προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος, καὶ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας· ὁκόταν δὲ ἄλλη δεκὰς γένηται, [8]τόν τε σῖτον τὸν λοιπὸν προσθέσθαι, καὶ ἔμετον ποιήσασθαι, καὶ προσάγων πρὸς [9]τὸν σῖτον ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ· τοῖσι δὲ πόνοισι θαῤῥεῖν τὸν τοιοῦτον πιέζων.

75. [10]Γίνεται δὲ καὶ τοιάδε πλησμονή· ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνεται ὠμὸν ἄτερ ὀξυρεγμίης, [11]ἡ δὲ κοιλίη διαχωρέει, ἐλάσσω μὲν ἢ πρὸς τὰ σιτία, ὅμως δὲ ἱκανῶς, πόνος δὲ οὐδεὶς ἐγγίνεται· τουτέοισιν ἡ κοιλίη ψυχρὴ ἐοῦσα οὐ δύναται καταπέσσειν [12]τὰ σιτία ἐν τῇ νυκτί· ὁκόταν γοῦν κινηθῇ, ἐρυγγάνεται τὸν σῖτον ὠμόν. Δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην ἀπό τε τῆς διαίτης [13]ἀπό τε τῶν πόνων· [14]καὶ πρῶτον μὲν οὖν χρὴ ἄρτῳ θερμῷ χρέε-

[1] Πουλὺ Lind., Mack. – πλεῖον EHK. – ὑστερέην J. – ὅταν θ. — [2] ὑπαρχόντων θ. – ἐπεισηνεχθέντων E. – ἐπισενεχθέντων θ. — [3] ἅπαν θ. – ἂν (ἂν om. EGHIJ) pro ἅπαν vulg. – διάρροιαν θ. — [4] ἦν pro ἂν Hθ. – ἂν om. K. – αὔτη θ. – μόνη EHK. – ὑποχωρέῃ EIJK. – ὑποχωρέει vulg. (H, al. manu η). – χωρέει θ. — [5] δριμια (sic) θ. – διαχωρέει K. – αἱματώδη E. – δυσεντερία K. – τε om. Eθ. – D'après Mack, dans θ καὶ manque. – Post ἐπικίνδυνος addit μάλιστα ἀπὸ μελαίνης χολῆς θ. — [6] τοῖσι δὲ δρόμοισι πλείοσι καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι vulg. – τοῖσι δὲ πόνοισι πλείοσι τῇσι πάλῃσι καὶ τοῖσι δρόμοισι καὶ περιπάτοισι χρῆσθαι θ. — [7] ὁκόταν δέκα γίνωνται vulg. – ὁκόταν δή (δέ Zwing. in marg., Lind.) περ αἱ δέκα γένωνται EGHIJK, Ald., Zwing. in marg., Lind. – ὅταν δ' ἡμέραι δέκα γένωνται θ. – προσθέσθαι θ. – προσαγαγεῖν GIJ, Zwing., Lind., Mack. – προαγαγεῖν vulg. – προσάγειν θ. – ἐς om. θ. – τέσσερας θ. — [8] τό τε σίτον τὸ λοιπὸν θ. – προσθέσθω EH. – ποίησαι, al. manu ποιήσασθαι H. — [9] τὸ σίτον ὑγιᾶ θ. – θαρρεῖ θ. – Sans doute pour θάῤῥει. — [10] Ante γίνεται addit ἑτέρα Q'. – πλησμονὴ om. (H, restit. al. manu) θ. – ἐς τὴν ὑστεραίην om. FGJK. – ὑστέραν· ἦν pro ὑστεραίην θ. — [11] ἦν δὲ ἡ

ils semblent débarrassés ; mais le lendemain le même état revient avec plus d'intensité. Quand, accrue chaque jour, la plénitude devient considérable, alors ce qui est déjà dans le corps triomphe de ce qui y est ingéré, allume la chaleur, trouble tout le corps et cause la diarrhée ; car c'est le nom dont on se sert tant que la nourriture corrompue est seule évacuée. Mais quand, le corps étant échauffé, l'évacuation devient âcre, l'intestin est raclé, ulcéré, et les selles sont sanguinolentes ; alors on dit qu'il y a dysenterie, maladie difficile et dangereuse. Il faut se précautionner, supprimer le déjeuner et le tiers du dîner. On augmentera les exercices, luttes, courses et promenades après le gymnase et le matin. Au bout de dix jours, on reprendra la moitié des aliments ôtés, on vomira, et l'on ira progressivement pendant quatre jours. Au bout de dix autres jours, on reprendra le reste des aliments, on vomira, et, allant progressivement, on reprendra la santé en cet intervalle de temps. Dans ce cas on peut hardiment appuyer sur les exercices.

75. (*Sixième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des éructations qui rejettent l'aliment non digéré.*) Voici encore une plénitude : le lendemain l'aliment est rejetté, non digéré, sans rapport aigre. Le ventre évacue moins que cela ne devrait être en proportion des aliments, mais passablement néanmoins ; aucune souffrance ne se fait sentir. Dans ce cas, le ventre, étant froid, ne peut digérer les aliments pendant la nuit ; quand donc il éprouve du mouvement, il rejette l'aliment non digéré. Il faut, ici, procurer au ventre de la chaleur et par le régime et par les exercices ; et d'abord on usera de pain chaud fermenté, qu'on

κοιλίη διαχωρέῃ (διαχωρέει Mack) vulg. - ἡ δὲ κοιλίη διαχωρέει θ, Lind. - Mack dit que θ a διαχωρέῃ. - σῖτα θ. - τούτοισιν θ. — [12] τὸν σῖτον θ. - οὖν E Hθ. - κεινηθῇ θ. - τοῦτο, al. manu τούτω H. — [13] καὶ ἀπό τε EH. - καὶ pro ἀπό τε θ. — [14] καὶ om. EHθ. - θερμῶ θ. - συγκομιστῷ pro θερμῷ vulg. - χρῆσθαι ζυμητη (sic) θ. - Post διαθρ. addit δὲ (δ' EH) vulg. - δὲ om. θ. - εἰς Mack. - Mack dit que θ a εἰς ; ma collation porte ἐς. - ἢ ἐς ζωμὸν EGHIKθ. - ὕειον θ. - κρεῶν om. (H, restit. al. manu) θ.

σθαι ζυμίτῃ, διαθρύπτοντα ἐς οἶνον μέλανα ἢ ζωμὸν ὑείων κρεῶν· τοῖσί [1]τε ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ· χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, οἷον ἀκροκωλίοισί τε διέφθοισι τοῖσιν ὑείοισι, [2]τοῖσί τε πίοσιν ὑείοισιν ὀπτοῖσι, τοῖσι [3]δὲ χοιρείοισι μὴ πολλοῖσι καὶ σκυλάκων μηδὲ ἐρίφων· λαχάνοισι [4]δὲ πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι, βλίτῳ [5]τε ἑφθῷ καὶ κολοκύντῃ· πόμασί τε ἀκρητεστέροισιν, ὕπνοισί τε μακροῖσιν, [6]ἀναριστίῃσι τὴν πρώτην· ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, τοῖσί [7]τε δρόμοισι καμπτοῖσιν, ἐξ ὀλίγου προσάγων, πάλῃ τε μαλακῇ ἐν ἐλαίῳ, λουτροῖσί τε ὀλίγοισι, χρίσμασί [8]τε πλείοσι, τοῖσί [9]τε πρωῒ περιπάτοισι πλείστοισιν, ἀπὸ δείπνου τε ὀλίγοισι· καὶ τὸ σῦκον μετὰ τῶν σιτίων ἀγαθὸν, ἄκρητός τε ἐπ' αὐτέῳ. Ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται [10]τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον.

76. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν, ἀχροοῦσι τὴν ὄψιν, καὶ, ὁκόταν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον [11]ὀξέα, καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. Τούτοισι τὰ σώματα οὐ καθαρά ἐστιν· [12]ὑπὸ γὰρ τοῦ πόνου πλεῖον τὸ συντηκόμενον τῆς σαρκὸς ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου· ἐμμένον δὴ τοῦτο ἐναντιοῦται τῇ τροφῇ, καὶ βιάζεται, καὶ ἀποξύνει. Ἡ μὲν οὖν τροφὴ ἐρυγγάνεται, [13]αὐτὸ δὲ ὑπὸ τὸ δέρμα ἐξωθέεται, καὶ τῷ ἀνθρώπῳ ἀχροιαν ἐμποιέει, καὶ νούσους ὑδρωποειδέας ἀποχυΐσκει. Ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε·

[1] Τε θ. – δὲ vulg. – ἐν ἁλμῇ ἑφθοῖσι G. – χρῆσθαι θ. – οἷον om. (E, restit. al. manu) H. – ἤγουν pro οἷον FGIJK. – ἀκρωκωλίοισι Frob., Zwing. – ἄκροις διεφθοῖς τοῖς ὑείοις θ. – ὑοῖσι (sic) IJ, Ald. – οἰεῖσιν (sic) Q', quod exponit προβατίοις. – οἰείοισι Lind., Mack. — [2] πλείοσι, καὶ τοῖσι ὑείοισι ἑφθοῖσι (καὶ τοῖσι ὑ. ἑφθ. om. EFGIK) vulg. – πλείοσι, καὶ τοῖσι πλείοσιν ὑοῖσιν ἑφθοῖσι H. – τοῖσί τε πίοσιν ὑείοις ὀπτοῖσι, sine πλείοσι præeunte θ. — [3] δὲ θ. – τε vulg. – χοιρίοισι Hθ. – μηδὲ θ, Mack. – καὶ pro μηδὲ vulg. – ἐρύφων G, Ald., Frob., Mack. – Mack dit que θ a ἐρύφων; ma collation porte ἐρίφων. — [4] τε Hθ. – σκόρδοισιν, al. manu σκορόδοισιν H. — [5] δὲ pro τε θ. – τῆς τε κολοκύντης pro καὶ κολ. EHθ. – τοῖς τε κολοκύντοις Zwing. in marg. – ποτοῖσί τε ἀκρήτοισιν θ. – ὕπνοισί τε μακροῖσιν om. θ. — [6] Ante ἀν. addit καὶ Lind. – ἀναριστῆν τε τὴν θ. – ἀριστείησι EH. – ὑγμασίων (sic) θ. — [7] δὲ pro τε J. – προσάγειν τε πάλην μαλακὴν (μαλθακὴν Mack) vulg. – προσάγων πάλην τε μαλακὴν EH. – προσάγοντα πάλην μαλακὴν Lind. – προσάγων πάλῃ τε μαλακῇ θ. – ἐν om., restit. al. manu H. — [8] τε E. – τε om. vulg. — [9] τε om. θ. – πλείστοισιν EHθ. – πλείοσιν vulg. – σύχον Ald. – σίτων θ. – ἄκρητος θ. – ἄκρατον vulg. – αὐτῷ θ. — [10] τοῖς GJ. – βραδειον (sic) θ. – τὴν ὄψιν om. (H, restit. al. manu) θ. – ὅταν θ. — [11] ὀξὺ θ. — [12] ὑπό τε γὰρ EGHIJK, Ald. – ἀπὸ

écrasera dans du vin noir ou du bouillon de viande de porc ; on mangera des poissons bouillis dans de la saumure âcre ; on mangera aussi de la viande, telle que des extrémités de porc bien bouillies, de la viande de porc grasse rôtie, peu de cochon de lait, peu de petit chien et de chevreau ; en fait de légumes, le porreau, l'ail bouilli et cru, la bette bouillie et la citrouille. On prendra le vin assez pur ; on prolongera le sommeil ; et dans le premier temps on supprimera le déjeuner. On dormira après les exercices ; on usera des courses recourbées, les accroissant graduellement. La lutte huilée, avec ménagement. Peu de bains ; beaucoup d'onctions ; beaucoup de promenades le matin, peu après le dîner. Les figues avec les aliments sont bonnes, et du vin pur par dessus. Grâce à ce traitement, la plénitude disparaît chez les uns plus tôt, plus tard chez les autres.

76. (*Premier cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par la décoloration du teint et par des rapports aigres peu après le repas. Ces cas sont toujours désignés comme des cas de plénitude ; c'est qu'en effet, dans la théorie de l'auteur, l'exercice excessif fond les chairs et produit une plénitude d'humeurs.*) D'autres présentent ces symptômes : ils ont mauvais teint ; après avoir mangé, ils ont, peu après, des rapports aigres, qui vont jusque dans le nez. Chez ceux-ci le corps n'est pas pur ; car l'exercice fond plus de la chair que le mouvement circulaire ne peut éliminer ; cela, demeurant dans l'intérieur, s'oppose à l'aliment, le violente et le rend aigre. En cet état l'aliment est rejetté par éructation, et l'humeur surabondante est poussée sous la peau, ce qui produit le mauvais teint et engendre des maladies de forme hydropique. Mais il faut se précautionner : le traitement le

γὰρ τοῦ πόνου πλείονος ἐόντος συντηκομένης τῆς σαρκὸς τὸ ἀποκαθαιρόμενον θ. – ἀποξυνεῖ θ. — [13] αὐτὸ δὲ τὸ (τὸ om. Mack) ὑπὸ τὸ δέρμα θ, Mack. – Suivant Mack θ n'a pas ce τό. – ὑπὸ τοῦ δέρματος vulg. – ἀχροιᾶν (sic) θ. – ἀχροιῆν E (H, al. manu ἄχροιαν). – νούσους EHθ, Mack. – νόσους vulg. – ὑδροποειδέας IK. – ὕδρωπος (sic) ἰδέας θ. – ἀποκυίσκει om. (H, restit. al. manu) θ. – D'après Mack θ a νούσους ὑδρωποειδέας ἀποκήσκει (sic).

ἡ μὲν [1]οὖν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ γέγραπταί μοι· [2]ἡ δὲ ἀσφαλεστέρη ὑπὸ τῆς διαιτήσιος ὧδε· πρῶτον μὲν λουσάμενον θερμῷ ἔμετον ποιήσασθαι, εἶτα προσάγειν [3]ἐς ἡμέρας ἀπὸ τοῦ ἐμέτου ἑπτὰ τὸ σιτίον τὸ εἰθισμένον· δεκάτῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου αὖθις [4]ἐμεέτω, καὶ προσαγέτω κατὰ τωὐτὸ· καὶ [5]τὸ τρίτον ὡσαύτως ποιησάτω· τοῖσι [6]δὲ τροχοῖσιν ὀλίγοισι καὶ ὀξέσι καὶ ἀνακινήμασι καὶ [7]τρίψει, καὶ [8]διατριβῇ πολλῇ χρήσθω [9]ἐν τῷ γυμνασίῳ, καὶ ἀλινδήσει [10]χρεέσθω· τοῖσί τε περιπάτοισι πολλοῖσιν ἀπὸ τῶν γυμνασίων, [11]ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ δείπνου, πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν· [12]ἐγκονιόμενος δὲ χριέσθω· ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω· ἀνάριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. Καὶ ἢν μὲν [13]ἐν μηνὶ καθιστῆται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν· ἢν δέ [14]τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ.

77. Εἰσὶ δέ τινες οἷσιν ἐς τὴν [15]ὑστεραίην ὀξυρεγμίαι γίνονται· τούτοισιν ἐν τῇ νυκτὶ ἡ ἀπόκρισις ἀπὸ τῆς πλησμονῆς γίνεται· ὁκόταν οὖν κινηθῇ [16]ἐκ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενος, βιάζεται ἔξω σὺν τῷ πνεύματι θερμόν τε καὶ ὀξὺ, [17]καὶ ἐκ τούτου νοῦσοι γίνονται, ἢν μή που προμηθείῃ χρέηται. [18]Ξυμφέρει δὲ καὶ τούτοισιν ὡς καὶ τῷ προτέρῳ τὴν θεραπείην ποιήσασθαι· τοῖσι δὲ πόνοισι πλείοσι [19]χρὴ τούτους χρέεσθαι.

78. Γίνεται δέ τισι καὶ [20]τοιάδε· ἐν τοῖσι πυκνοσάρκοισι τῶν

[1] Οὖν om. Hθ. – πείσαντα θ. – ὥσπερ μοι πρότερον γέγραπται θ. — [2] ἡ δὲ βραδυτέρη ὑπὸ τῆς διαιτήσιος θ. – ἀπὸ Q'. – διαίτης vulg. — [3] ἐς Γ. – ἐς om. vulg. – ἀπὸ τοῦ ἐμέτου om. (H, restit. al. manu) θ. – ἀπὸ τοῦ ἐμέτου ἡμέρας ζ K. — [4] ἐμείτω θ. – τὸ ωὐτὸ vulg. – τωὐτὸ EHθ, Mack. — [5] τὸ om. E. – Post ποιησάτω addit καὶ δρόμους (δρόμοις L; δρόμοισι K', Mack) vulg. – καὶ δρόμους om. (H, restit. al. manu) θ. — [6] δὲ EHQ'θ, Zwing. In marg. – μὲν vulg. – ὀλίγους καὶ ὀξέους (sic) G. – ἐγκινήμασι K'. – ἐν κινήμασι (κινήματι J) vulg. – ἀνακινήμασι Zwing. in marg. – J'adopte la correction de Zwinger pour cette phrase, dont le texte précis reste toujours douteux. — [7] ἐν τρίψει (ἐντρίψει K') vulg. – ἐν om. θ. — [8] ἐν διατριβῇ (ἐνδιατριβῇ K') vulg. – ἐν om. θ. – χριέσθω Zwing. in marg., Lind., Mack. — [9] καὶ ἐν Lind., Mack. – ἐν τῷ γ. καὶ ἀλ. χρεέσθω om. θ. — [10] χρέεσθαι Zwing. in marg. – χρεέσθω δὲ καὶ τοῖσι περιπ. Lind., Mack. – χρεέσθω τοῖσι περιπ. vulg. – τοῖσί τε περιπάτοισι θ. – ἀπό τε τῶν EH. — [11] χρέεσθαι δὲ pro ἀλλὰ μὴν EHQ' (θ, χρῆσθαι). – πλὴν pro ἀλλὰ μὴν Lind. – μὲν pro μὴν Mack. – τοῖς GIJK. — [12] ἐκκεκονιωμένοισι (ἐνκεκον. E; ἐγκεκον. Zwing. in marg.) χρεέσθω vulg. – ἐνκονιόμενος δὲ χριέσθω θ. – D'après Mack θ a ἐγκονιώμενος. – ὅταν θ. – διατελείτω θ. — [13] ἑνὶ (ἐν ἑνὶ IJK) μηνὶ καθιστῶνται vulg. – ἐν μηνὶ καθίστηται (sic) θ, Mack. — [14] τι καὶ ὑπ. J. – χρήσθω θ. — [15] ὑστερέην J. – ἀποκρίσεις θ. – ἀπὸ P'Q'θ, Lind.,

plus court, c'est de prendre de l'ellébore, et puis d'aller progressivement dans le régime comme je l'ai dit. Mais le traitement le plus sûr est par le régime ainsi conduit : d'abord, après avoir pris un bain chaud, on vomira, puis on atteindra par gradation, en sept jours à compter du vomissement, la quantité habituelle de nourriture. Dix jours après le vomissement on vomira de nouveau; après quoi on ira par gradation de la même manière. Une troisième fois on en fera autant. On usera des courses au cerceau peu et rapides, des jets de bras, de la friction et d'un long séjour dans le gymnase. On luttera sur la poussière. On se promènera beaucoup après les exercices, on se promènera aussi après le dîner, mais surtout le matin. On fera les onctions le corps plein de poussière. Si l'on veut prendre un bain, on le prendra chaud. Pendant ce temps on supprimera le déjeuner. Si dans le mois les symptômes disparaissent, on se traitera du reste de la manière convenable; mais s'il y a encore quelque reliquat, on reprendra le traitement.

77. (*Deuxième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des rapports aigres le matin au moment du réveil.*) Il est des gens à qui reviennent le lendemain des rapports aigres; c'est que dans la nuit la plénitude leur cause une sécrétion; quand donc le corps se livre à des mouvements après le sommeil, la respiration devient plus fréquente, et avec la respiration sort de force quelque chose de chaud et aigre. De là viennent des maladies, si des précautions ne sont pas prises. Il convient de se traiter dans ce cas comme dans le précédent; mais les exercices seront plus considérables.

78. (*Troisième cas où les exercices l'emportent sur les ali-*

Mack. - ὑπὸ vulg. - τῆς om. θ. - πλεισμονῆς θ. - γίνονται E. — [16] ἀπὸ P'Q', Lind. - πυκνωτέρῳ Frob. - χρησάμενον HJKθ, Ald., Lind., Mack. - θερμοί τε καὶ ὀξεῖς J. — [17] καὶ om. EHJ, Ald. - νοῦσοι θ, Lind., Mack. - νόσοι vulg. - καὶ ἢν μή που GIJK, Ald. - τις pro που EGHIJK, Ald., Lind., Mack. - χρήσηται θ, Mack. — [18] σ. θ. - τουτέοισιν Lind., Mack. - ὥσπερ Eθ, Zwing. in marg., Lind. - τὸν πρότερον θεραπευθῆναι EHP'θ. - τὴν θεραπείην om. Ald. - θεραπείαν G. — [19] χρὴ om. EHθ. - τοῦτον χρῆσθαι θ. — [20] τοιῇδε EG (H, al. manu, erat prius τοιάδε) IK, Ald. - θερμαίνηται θ.

σωμάτων, ὅταν τὰ σιτία διαθερμαίνηται καὶ διαχέηται [1]ἀπὸ πρώτου ὕπνου, θερμαινομένης τῆς σαρκὸς ὑπό τε τῶν σιτίων διά [2]τε τὸν ὕπνον, ἀπόκρισις γίνεται ἀπὸ τῆς σαρκὸς πολλὴ ὑγρῆς ἐούσης· εἶτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται [3]πυκνὴ ἐοῦσα, τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν ἐναντιούμενον τῇ τροφῇ καὶ βιαζόμενον ἔξω πνίγει τὸν ἄνθρωπον καὶ θερμαίνει, μέχρις ἂν ἐξεμέσῃ· ἔπειτα κουφότερος ἐγένετο· πόνος δὲ [4]οὐδεὶς ἐν τῷ σώματι φανερός· ἀχροίη δὲ ἔνεστι· προϊόντος δὲ τοῦ χρόνου πόνοι τε γίνονται καὶ νοῦσοι. Πάσχουσι [5]δὲ τούτοισι παραπλήσια καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, ἐξαπίνης πονήσαντες, σύντηξιν τῆς σαρκὸς βιαίαν καὶ πολλὴν ἐποίησαν. Χρὴ δὲ τοὺς τοιούτους ὧδε θεραπεύειν· ἀφελεῖν τῶν [6]σίτων τὸ τρίτον μέρος· τοῖσι δὲ [7]σίτοισι χρέεσθαι τοῖσι δριμέσι καὶ ξηροῖσι καὶ αὐστηροῖσι [8]καὶ εὐώδεσι καὶ οὐρητικοῖσι, τοῖσι δὲ δρόμοισι τοῖσι μὲν πλείστοισι καμπτοῖσιν ἐν ἱματίῳ, γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι, τρίψεσι δὲ καὶ πάλῃ [9]ὀλίγῃ, ἀκροχειρισμοῖσιν, ἀκροχείρισις καὶ κωρυκομαχίη ξυμφορώτερον· τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων πολλοῖσι καὶ [10]τοῖσιν ὀρθρίοισι καὶ ἀπὸ δείπνου· φωνῆς δὲ πόνος [11]μάλα ἐπιτήδειος, κένωσιν γὰρ τοῦ ὑγροῦ ποιεύμενος ἀραιοῖ τὴν σάρκα· ξυμφέρει δὲ ἀνάριστον διάγειν· χρέεσθαι δὲ τοῖσι [12]τοιούτοισιν ἐν ἡμέρῃσι δέκα· εἶτα προσθέσθαι τὸ ἥμισυ τοῦ σίτου τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ, καὶ ἔμετον ποιήσασθαι, [13]ἐκ

[1] Καὶ ἀπὸ vulg. – καὶ om. EGHIJK. — [2] τε θ. – τε om. vulg. – γίνεται, al. manu νη H. – σαρκὸς πολλὴ (πουλλὴ Ald., Frob., Mack) ὑγρασίη (πολλῆς ὑγρασίης K') vulg. – σαρκὸς πολλῆς ὑγρῆς ἐούσης θ. – Je prends le texte de θ, en gardant πολλὴ de vulg. — [3] πυκνῆς οὔσα θ. – ὑπεναντιοῦται ενον (sic) pro ἐναντιούμενον θ. – εἴσω pro ἔξω θ. – μέχρι sine ἂν (H, al. manu μέχρις ἂν) θ. – ἔπειτα δὲ K', Mack. — [4] οὐδὲ εἷς IJK. – ἀχροίη EK, Lind. – ἀχροιὴ Mack. – ἀχροία vulg. – ἀχροιᾶ, al. manu ἀχροίη H. – δ' θ. – αὐτῷ ἔνεστι vulg. – αὐτῷ om. EHK. – Post ἔνεστι addunt ἐν τῷ σώματι E (H, al. manu). – ἀχροίη δέ ἐστι ἐν τῷ σώματι Zwing. in marg. – νοῦσοι EHθ, Lind., Mack. – νόσοι vulg. — [5] διὰ pro δὲ GJ. – ὄντες EHIJK. – σύντηξι (sic) θ. – βιαίαν καὶ om. θ. – βιαίαν om., restit. al. manu H. – καὶ βιαίαν καὶ πολλὴν EQ'. – πουλλὴν G, Ald., Frob. — [6] σιτίων K. — [7] σιτίοισι EHK, Lind., Mack. – χρῆσθαι θ. — [8] καὶ om. θ. – δρόμοισι EGHIJKθ, Ald., Mack. – δρόμοις vulg. – ἐν ἱματίοισι, γυμνὸς δὲ καὶ τοῖσι θ. — [9] απαλη (sic) pro ὀλίγῃ θ. – ἀκροχείρηξι (ἀκροχείριξις, al. manu ἀκροχείρησις H; ἀκροχείρησις EGIK; ἀκροχείρισις FJ; ἀκροχείρηξις Ald.; ἀκρ. om. θ) πλὴν (καὶ pro πλὴν EHQ'θ) κωρυκομαχίη (κωρυκομαχίης (sic) L) ξυμφερώτερον (ξυμφορώτερον EH; συμφερώτερον IJK; συμφορώτερον θ) vulg. – ἀκροχείριξις γὰρ ἡ κωρυκομαχίη ξυμφορώτερον

